www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ
# ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΕΙΡΗΝΗΣ
# ΤΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ



ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙΩ ΟΡΕΙ

ΥΠΟ

ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΟΣΙΣ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ (ΜΕΡΙΚΗ)

ΙΕΡΑΣ ΜΟΝΗΣ
ΟΣΙΑΣ ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ
ΛΥΚΟΒΡΥΣΕΩΣ ΑΤΤΙΚΗΣ
1985

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ
# ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΕΙΡΗΝΗΣ
# ΤΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ



ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙΩ ΟΡΕΙ

ΥΠΟ

ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΟΣΙΣ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ (ΜΕΡΙΚΗ)
ΙΕΡΑΣ ΜΟΝΗΣ
ΟΣΙΑΣ ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ
ΛΥΚΟΒΡΥΣΕΩΣ ΑΤΤΙΚΗΣ
1985

www.tezaurliturgic.ro

Ἡ τῆς παρούσης βίβλου ἀνατύπωσις, ἐν μέρει, ἢ ἐν ὅλῳ, ἀπαγορεύεται συμφώνως τῷ περὶ τυποκλοπίας Νόμῳ, ἐκχωρηθέντων ἁπάντων τῶν δικαιωμάτων τοῦ ὑμνογράφου εἰς τὴν ὑφ' ἡμᾶς Ἱερὰν Μονὴν τῆς Ὁσίας Εἰρήνης Χρυσοβαλάντου ἐν Λυκοβρύσει Ἀττικῆς διὰ δωρεᾶς ἐν ζωῇ στερρᾶς καὶ ἀμετακλήτου δυνάμει τῶν ὑπ' ἀριθμοὺς 14156)58, 680)61 καὶ 14151)73 Δωρητηρίων Συμβολαίων τῶν Συμ)φων: 1) Δημοσθένους Κόλλια—Νικαίας 2) Σοφίας Μερτικοπούλου καὶ 3) Χρήστου Κατσαφαροπούλου—Ἀθηνῶν—ἀντιστοίχως.

Πᾶν γνήσιον ἀντίτυπον φέρει
τὴν σφραγίδα τῆς Ἱερᾶς ἡμῶν Μονῆς.

Τύποις Ἱερᾶς Μονῆς Ὁσίας Εἰρήνης Χρυσοβαλάντου
Λυκοβρύσεως Ἀττικῆς

www.tezaurliturgic.ro

# ΠΑΡΑΧΩΡΗΤΗΡΙΟΝ ΕΓΓΡΑΦΟΝ ΤΟΥ ΣΥΝΤΑΚΤΟΥ ΟΣΙΟΛΟΓΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ ΠΡΟΣ ΤΗΝ ΙΕΡΑΝ ΜΟΝΗΝ ΤΗΣ ΟΣΙΑΣ ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ ΛΥΚΟΒΡΥΣΕΩΣ ΑΤΤΙΚΗΣ

Τὸ παρόν μου ἔργον, ἤτοι τὴν Ἱερὰν Ἀκολουθίαν μετὰ τῶν 24 οἴκων, δύο παρακλητικῶν καὶ ὀκτωήχων κανόνων καὶ τῆς ἀκολουθίας τοῦ μικροῦ Ἁγιασμοῦ τῆς Ὁσίας μητρὸς ἡμῶν Εἰρήνης τῆς Θαυματουργοῦ, Ἡγουμένης τῆς πάλαι ποτὲ ἀκμασάσης ἐν Κωνσταντινουπόλει Ἱερᾶς Μονῆς τοῦ Χρυσοβαλάντου προσφέρω καὶ ἀφιερῶ εἰς τὴν ἐν Λυκοβρύσει τῆς Ἀττικῆς Ἱερὰν Μονὴν τῆς Ὁσίας ἐκχωρῶν εἰς αὐτὴν τὰ ἐπὶ τῆς ἐν λόγῳ πνευματικῆς μου ἰδιοκτησίας δικαιώματα, ἐξ ἄκρας εὐλαβείας πρὸς τὴν θαυμαστὴν ταύτην Ὁσίαν καὶ ἀπὸ τοῦ νῦν τὸ πνευματικόν μου τοῦτο προϊὸν θὰ ἀνήκῃ εἰς αὐτήν, ὡς ἀναφαίρετον αὐτῆς κτῆμα.

ΓΕΡΑΣΙΜΟΣ Μοναχὸς Μικραγιαννανίτης

**15 Μαρτίου 1958**

**Μικρὰ Ἁγία Ἄννα Ἁγ. Ὄρους.**

ΦΩΤΟΑΝΤΙΓΡΑΦΟΝ ΤΟΥ ΠΑΡΑΧΩΡΗΤΗΡΙΟΥ



www.tezaurliturgic.ro




«ΟΣΙΑ ΕΙΡΗΝΗ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ, τῇ πολιτείᾳ ἰσάγγελε, καὶ πιστὴ Χριστοῦ θεράπαινα, ὡς ἔχουσα παρρησίαν πρὸς Αὐτόν, περίσωζε ἡμᾶς, ταῖς εὐπροσδέκτοις πρεσβείαις σου, ἐκ παντοίων κινδύνων, ὅτι πρὸς Σὲ καταφεύγομεν».

www.tezaurliturgic.ro

# ΤΥΠΙΚΟΝ

Εἰ τύχοι ἡ μνήμη τῆς Ὁσίας ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ ἀκολουθία αὐτῆς ψάλλεται καθὼς ἐστι τετυπωμένη.

Εἰ δὲ τύχοι ἐν Κυριακῇ ψάλλεται ὡς ἀκολούθως:
Σαββάτῳ ἑσπέρας. Μικρὸς Ἑσπερινός.

Ἡ Θ΄. ὥρα, μεθ' ἣν ὁ Προοιμιακός. Τὸ Κύριε ἐκέκραξα, ἐν ᾧ ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ Προσόμοια τῆς Ὁσίας. Δόξα, ὡσαύτως. Καὶ νῦν. Τὸ ἐν τῷ Μικρῷ Ἑσπερινῷ Δογματικὸν Θεοτοκίον τοῦ ἤχου. Φῶς ἱλαρόν. Προκείμενον, Ὁ Κύριος ἐβασίλευσεν.... Καταξίωσον Κύριε...... καὶ εὐθὺς τὰ Ἀπόστιχα, πρῶτον τὸ Ἀναστάσιμον τοῦ ἤχου, καὶ εἶτα τῆς Ὁσίας ὡς ἔχουσιν ἐν τῇ ἀκολουθίᾳ. Τό, Νῦν ἀπολύεις, τὸ τρισάγιον, Ἀπολυτίκια, τὸ Ἀναστάσιμον τοῦ ἤχου, Δόξα τῆς Ὁσίας. Καὶ νῦν. Θεοτοκίον. Χαῖρε πύλη Κυρίου ..... καὶ ἀπόλυσις.

## Μέγας Ἑσπερινός.

Ἐν τῇ ἀγρυπνίᾳ. Τὸ μικρὸν ἀπόδειπνον, μεθ' ὃ ὁ Προοιμιακός, συναπτὴ μεγάλη, καὶ ἀκολούθως τὸ α΄ Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄. Καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ ἤχου δ΄. καὶ τῆς Ὁσίας Προσόμοια στ΄. Δόξα τῆς Ὁσίας. Μοναστριῶν τὴν καλλονήν... Καὶ νῦν. Δογματικὸν Θεοτοκίον τοῦ τυχόντος ἤχου. Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον, ὁ Κύριος ἐβασίλευσεν.... καὶ τὰ Ἀναγνώσματα τῆς Ὁσίας. Μεθ' ἃ ἐκτενὴς ὡς συνήθως, καὶ ἐξερχόμεθα ἐν τῇ Λιτῇ τοῦ ναοῦ ψάλλοντες τὴν Λιτὴν τῆς Ὁσίας ὡς ἔχει ἐν τῇ ἀκολουθίᾳ. Εἶτα ἐκτενὴς ὡς συνήθως καὶ ἀμέσως τὰ Ἀπόστιχα, ἀρχομένου τοῦ ἀριστεροῦ χοροῦ. Πρῶτον ψάλλομεν τὸ Ἀναστάσιμον τοῦ ἤχου καὶ ἀμέσως τὰ τῆς Ὁσίας, Χαίροις ἐπωνυμία τερπνή.... Δόξα. Δεῦτε ἅπαντες πιστοί... Καὶ νῦν. Ἀνύμφευτε Παρθένε..... Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια, τὸ Ἀναστάσιμον, τὸ τῆς Ὁσίας, καὶ εὐθὺς τό, Θεοτόκε Παρθένε, μεθ' ὃ ἡ εὐλόγησις τῶν ἄρτων ὡς συνήθως. Εἶτα τό, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον....ἐκ γ΄. Χῦμα, Δόξα, καὶ νῦν, καὶ ἀναγιγνώσκομεν τὸν λγ΄. ψαλμὸν ἤτοι τό, Εὐλογήσω τὸν Κύριον..... μέχρι τοῦ στίχου, Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν..... ὅστις ψάλλεται καὶ ἀμέσως ἀνάγνωσις ἐκ τοῦ βίου τῆς Ὁσίας.

www.tezaurliturgic.ro



Περατωθείσης τῆς ἀναγνώσεως, εὐθὺς τό, Δόξα ἐν ὑψίστοις Θεῷ..... καὶ λέγομεν τὸν Ἑξάψαλμον μετὰ προσοχῆς καὶ εὐλαβείας. Συναπτὴ μεγάλη, Θεὸς Κύριος..... καὶ τὰ Ἀπολυτίκια, τὸ Ἀναστάσιμον δίς, Δόξα, τῆς Ὁσίας, Καὶ νῦν. Θεοτοκίον. Εἶτα τὸ Κάθισμα τοῦ Ψαλτηρίου, μεθ' ὃ ψάλλομεν τὰ Ἀναστάσιμα Καθίσματα. Καὶ πάλιν τὸ ἕτερον Κάθισμα τοῦ Ψαλτηρίου, καὶ ψάλλομεν τὰ Καθίσματα τῆς Ὁσίας, καὶ τίθεται αὖθις ἀνάγνωσις. Εἶτα ἀντὶ τοῦ Ἀμώμου, ψάλλεται ὁ Πολυέλεος, μεθ' ὃν τὰ Εὐλογητάρια, συναπτή, ἐκφώνησις, Ὅτι εὐλόγηται..... ἡ Ὑπακοὴ χῦμα, καὶ ἀμέσως ψάλλομεν τὰ μετὰ τὸν Πολυέλεον Καθίσματα τῆς Ὁσίας. Τὰ ἀντίφωνα τοῦ ἤχου, τὸ Προκείμενον, τὸ Ἀναστάσιμον Ἑωθινὸν Εὐαγγέλιον, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι..... καὶ ὁ Ν'. ψαλμός, οὗτινος ψαλλομένου γίνεται ὡς συνήθως ἡ προσκύνησις τοῦ Ἱεροῦ Εὐαγγελίου. Δόξα. Ταῖς τῶν Ἀποστόλων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἀναστὰς ὁ Ἰησοῦς..... Σῶσον ὁ Θεὸς τὸν λαόν σου...... καὶ οἱ κανόνες. Ὁ Ἀναστάσιμος μετὰ τοῦ Εἱρμοῦ εἰς δ'. τῆς Θεοτόκου εἰς β'. Καὶ τῆς Ὁσίας οἱ δύο κανόνες εἰς η'. Καταβασίας, Χοροὶ Ἰσραήλ.... Ἐν τῇ γ'. ᾠδῇ μετὰ τὴν αἴτησιν ἀναγιγνώσκομεν τὸ Ἀναστάσιμον Κοντάκιον καὶ τὸν Οἶκον, καὶ ἀμέσως ψάλλομεν τὸ Κάθισμα τῆς Ὁσίας. Τῆς εἰρήνης τὸν ἄρχοντα ἀγαπήσασα.... Δόξα, καὶ νῦν. Θεοτοκίον. Τὸ κατάσκιον ὄρος..... καὶ ψάλλονται αἱ λοιπαὶ ᾠδαί. Ἐν τῇ στ'. τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Ὁσίας, καὶ ἀκολούθως τὸ Συναξάριον, μεθ' ὃ τὰς ἑτέρας ᾠδὰς ζ'. καὶ η'. Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτός ...... καὶ ψάλλομεν τὴν Τιμιωτέραν.... καὶ ἀκολούθως τὴν ἐνάτην ᾠδήν. Ἅγιος Κύριος..... τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὰ τῆς Ὁσίας μετὰ τοῦ Θεοτοκίου. Εἰς τοὺς Αἴνους, δ'. Ἀναστάσιμα καὶ δ'. τῆς Ὁσίας εἰς δὲ τὰ δύο τελευταῖα λέγομεν τοὺς ἑξῆς στίχους:

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον......

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.....

Δόξα, τῆς Ὁσίας. Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων... Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις..Δοξολογία μεγάλη καὶ τὸ Ἀναστάσιμον τροπάριον, Σήμερον σωτηρία.... ἢ τό, Ἀναστὰς ἐκ τοῦ μνήματος....... ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ἡ α'. ὥρα, καὶ τελεία ἀπόλυσις.

### Ἐν τῇ Λειτουργίᾳ.

Τὰ τυπικά, οἱ Μακαρισμοί, τὰ Ἀναστάσιμα δ'. ἤχου, καὶ τῆς Ὁσίας ἐκ μὲν τοῦ α'. κανόνος ἡ γ'. ᾠδή, ἐκ δὲ τοῦ β'. ἡ στ'. ἐν ὅλῳ 12. Μετὰ τὴν εἴσοδον Ἀπολυτίκια, τὸ Ἀναστάσιμον καὶ τὰ τῆς Ὁσίας, ἡ Ὑπακοὴ τοῦ ἤχου, τὸ Κοντάκιον τῆς Ὁσίας, Τὴν τοῦ κόσμου εὔκλειαν..... καὶ ἐν τέλει τό, Ἐπὶ τοῦ ὄρους μετεμορφώθης..., Ἀπόστολον τῆς Ὁσίας (ζήτει τοῦτον τῇ Πέμπτῃ τῆς ΙΕ'. Ἑβδομάδος), καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, τό, Ἄξιόν ἐστιν. Εἰς τὰ Δίπτυχα τὸ Μεγαλυνάριον τῆς Ὁσίας. Κοινωνικόν, Αἰνεῖτε τὸν Κύριον..... Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν......

www.tezaurliturgic.ro



# ΙΟΥΛΙΟΥ ΚΗ΄.

**Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Εἰρήνης Ἡγουμένης Μονῆς τοῦ Χρυσοβαλάτου τῆς Θαυματουργοῦ.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἀπὸ ρίζης εὐκλεοῦς, ἤνθησας ὡς ἄνθος Ὁσία, θεοβλαστούργητον, τότε κόσμῳ ἔπνευσας, ὑπὲρ ἀρώματα, τῆς ἁγνείας τὰς χάριτας, καὶ τῶν σῶν ἀμέμπτων, τρόπων τὴν σεμνότητα, Εἰρήνη ἔνδοξε. Ὅθεν τὸ οὐράνιον μύρον, στάξαν ἐν τῇ σῇ διανοίᾳ, θείαν μυροθήκην σε εἰργάσατο.

Ὅτε τῶν ἀμέμπτων σου ἠθῶν, ὁ Ἰωαννίκιος, Μῆτερ, εἶδε τὴν ἔλλαμψιν, τότε θείῳ Πνεύματι μυσταγωγούμενος, ἱερῶς προηγόρευσε, τῶν σῶν ἐσομένων, θείων ἀναβάσεων, τὰ κατορθώματα. Ἄπιθι Εἰρήνη βοήσας· ἡ Χρυσοβαλάντου γὰρ Ποίμνη τὴν σὴν ἡγεσίαν ἀπεκδέχεται.

www.tezaurliturgic.ro



Ὅτε τὸ ἐν σοὶ ἐκτελεσθέν, ὡς βουλὴν θεόκριτον ἔγνως, νοὸς ὀξύτητι, τότε περιφάνειαν γένους κατέλιπες, ὡς οὐδὲν διαπτύσασα, τιμὰς ἀπανθούσας, καὶ τῷ πάντων Ἄνακτι θερμῶς μεμνήστευσαι. Ὅθεν τῆς αὐτοῦ βασιλείας, ὡς λαμπαδηφόρος παρθένος, ἔνδοξε Εἰρήνη κατηξίωσαι.

Ὅτε ὡς λαμπὰς ἀειφανὴς τῇ τῶν ἀρετῶν δαδουχίᾳ, Ὁσία ἔφανας, τότε διαλέλυκας παθῶν σκοτόμαιναν, καὶ δαιμόνων ἠμαύρωσας, τὰς μηχανουργίας, ἴασιν καὶ λύτρωσιν, πᾶσι βραβεύουσα. Ὅθεν τῷ Ἡλίῳ τῆς δόξης, ὥσπερ ἐκλεκτὴ παρεστῶσα, σκότους ἁμαρτίας με ἀπάλλαξον.

Δόξα. Ἦχος β΄.

Ἡ φερώνυμος κλῆσίς σου, τὰ τῆς Εἰρήνης ἀγαθά, πόρρωθεν Ὁσία ἐσήμανεν· ὧν τὰς ἀπαρχὰς ἤδη κτωμένη, τῷ τῆς Εἰρήνης ἄρχοντι, ἔσπευσας νυμφευθῆναι· πᾶσι γὰρ χαίρειν εἰποῦσα, τῷ ἀθανάτῳ Βασιλεῖ, σεαυτὴν ἀνατέθεικας, δικαιοσύνην καὶ εἰρήνην, ἐν ὁσιότητι ἐργασαμένη. Καὶ νῦν τοῦ πόθου σου τυχοῦσα, εἰρήνην ἄρρηκτον, καὶ ὁμόνοιαν στερράν, πᾶσι πρυτάνευσον, Εἰρήνη παμμακάριστε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

## ΑΠΟΣΤΙΧΑ

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Οἶκος φωτοειδής, Πατρός, Υἱοῦ ἐδείχθης, καὶ Πνεύματος Ἁγίου, τῇ σῇ φιλοσοφίᾳ, Εἰρήνη μεγαλώνυμε.

www.tezaurliturgic.ro



Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.....

Κύρῳ τῷ νοητῷ, τῶν σῶν ἱδρώτων Μῆτερ, προσφέρουσα τοὺς ὄμβρους, τῆς παρ' αὐτοῦ ἐπλήσθης, ἀρρήτου διαδόσεως.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου .......

Νύμφη περικαλλής, τοῦ πάντων Βασιλέως, λαμπρῶς διηνθισμένη, χαρίτων ἀγλαΐᾳ, Εἰρήνη ἐχρημάτισας.

Δόξα. Τριαδικόν.

Φύσις Τριαδική, τῶν ἀγαθῶν αἰτία, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, εἰρήνευσον τὸν κόσμον, πρεσβείαις τῆς Ὁσίας, σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὤφρασόν μοι Ἁγνή, πῶς φέρεις ἐν ἀγκάλαις, τὸν Ποιητὴν τῶν ὅλων; Ἀκαταλήπτῳ τρόπῳ τὸ πῶς μὴ ζήτει ἄνθρωπε.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ὁσίας.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς ἁγνείας τὸ σκήνωμα, τῶν χαρίτων τὸ τέμενος, τὸ λαμπρὸν τοῦ Πνεύματος ἐνδιαίτημα, τῶν ὑπὲρ νοῦν ἀναβάσεων, τρυγόνα τὴν ἄμωμον, τὴν ἀφ᾽ ὕψους ἀρετῶν, μελῳδοῦσαν τοῖς πέρασι τῆς ἐν πνεύματι, πολιτείας τὰς θείας ἀντιδόσεις, τὴν θεόσοφον Εἰρήνην, μελῳδικῶς εὐφημήσωμεν.

Ἡ ἐν κάλλει τοῦ σώματος, τῆς ψυχῆς τὴν εὐπρέπειαν, ὡς παρθένος ἄμωμος ὑπεμφαίνουσα, τῷ Βασιλεῖ τῶν Δυνάμεων, ἀφθόρως μεμνήστευσαι, ὡς σφαλεῖσα γεηρᾶς βασιλείας ὡς ἔοικεν· ὅθεν ἔσπευσας, ὡς πολύτιμον προῖκα καὶ ἁγίαν, τῷ ἀχράντῳ σου νυμφίῳ προσαγαγεῖν τὴν σὴν ἄσκησιν.

Ὡς θεόφυτος ἄμπελος, ἀφθαρσίας τοὺς βότρυας, γεωργίᾳ κρείττονι ἐγεώργησας, θεουργικῶς ἀποστάζοντας ὡς νέκταρ οὐράνιον, ὡς ἀθάνατον τρυφήν, τῆς τοῦ Λόγου χρηστότητος, τὸν ζωήρρυτον, γλυκασμὸν τοῖς πιστῶς ὑμνολογοῦσι, τῶν ἐνθέων σου ἀγώνων, Μῆτερ Εἰρήνη τὰ σκάμματα.

www.tezaurliturgic.ro



Ὡς εἰρήνης ἐπώνυμος, τῆς εἰρήνης τὴν ἔλλαμψιν, γαληνῶς πρυτάνευσον εἰρηνώνυμε, τοῖς ἐν τῷ σκότει καθεύδουσι, κακίας καὶ μήνιδος, καὶ ὁδήγησον ἡμᾶς, πρὸς εἰρήνης τὴν εἴσοδον, ὡς ἂν φθάσωμεν, πρὸς εἰρήνην ἧς ὅριον οὐκ ἔστι καὶ δοξάσωμεν Εἰρήνη, τὸν τὴν εἰρήνην πηγάζοντα.

ΠΡΟΣΟΜΟΙΑ ΕΤΕΡΑ

Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν νῦν τὴν Εἰρήνην; τῆς Καππαδοκίας τὸ βλάστημα, καὶ Χρυσοβαλάντου τὸ καύχημα, τὴν τοῦ Βυζαντίου θυμηδίαν· τὸ κλέος, Μοναστριῶν καὶ ὑποτύπωσιν· τὴν βάσιν, Ἀσκητριῶν καὶ χειραγώγησιν. Ταύτην γὰρ ὁ Δεσπότης, φωτισμοῦ ἀρρήτου, κατηξίωσεν ἀληθῶς, ἡμῶν προμηθούμενος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις μελῳδικοῖς ᾄσμασι, μακαρίσωμέν σε τὴν Εἰρήνην; τὸ τῆς ἐγρατείας γεώργιον, καὶ τῆς ἀπαθείας τὸ ὄργανον, τῆς διπλῆς ἀγάπης τὸ ταμεῖον· τὴν στήλην, τῶν ἀρετῶν τὴν θεοτύπωτον· τὴν βρύσιν, τῶν ἰαμάτων τὴν πολύρρυτον, τὴν ἀναβλύζουσαν κόσμῳ ψυχῶν καὶ σωμάτων, ῥῶσιν ἄφθονον ἐσαεί, καὶ πάθη ὀλέθρια, τῶν δαιμόνων ἀφανίζουσα.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμέν σε τὴν Εἰρήνην; τὴν ἀγγελικῶς ἀναλάμψασαν, καὶ τὸν πονηρὸν ἀμαυρώσασαν, τοῦ φωτὸς τοῦ θείου τὴν λυχνίαν· τὸ ἄνθος, τῆς καθαρότητος τὸ εὔοσμον· τὸ ῥόδον, τῆς ἀφθαρσίας τὸ μυρίπνοον· περιστερὰν τὴν ἁγίαν, τὴν κεχρυσωμένην, τὰ μετάφρενα ψαλμικῶς, καὶ πετάσασαν, καλιὰν πρὸς ἐπουράνιον.

www.tezaurliturgic.ro



Ποίοις πνευματικοῖς μέλεσιν, εὐφημήσωμέν σε Πανοσία; σὺ γὰρ τοῦ Δεσπότου τῆς κτίσεως, νύμφη εὐπρεπὴς ἐχρημάτισας, ἀπανθούσης δόξης μακρυνθεῖσα· ἐντεῦθεν, θείων θαλάμων κατηξίωσαι, ὁρῶσα τοῦ σοῦ νυμφίου τὴν λαμπρότητα, ἧς τέως ἐφιεμένη, ἀρετῶν τῷ κάλλει, καθωράισας σεαυτήν· διὸ καὶ δεδόξασαι, ἐν σημείοις τε καὶ τέρασι.

Δόξα. Ἦχος πλ. β'.

Μοναστριῶν τὴν καλλονήν, καὶ τῶν παρθένων κλέος, σκεῦος τῶν χαρίτων, καὶ τοῦ Χριστοῦ τρυγόνα τὴν ἄσπιλον, ἐπαξίως, ὦ φιλέορτοι, μελῳδικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις τῶν ἀρετῶν ὁ κανών, καὶ θείων δωρεῶν, τὸ νοητὸν ἀλάβαστρον· χαίροις λαμπὰς πολύφωτος, ἡ τῷ φωτὶ τῶν ἔργων σου, τοὺς πιστοὺς καταυγάζουσα· χαίροις τῆς παρθενίας τὸ κρίνον τὸ εὐῶδες, καὶ τῆς αἰωνίου εἰρήνης ἁρμονία. Καὶ νῦν, Εἰρήνη θεόσοφε, λαμπρῶς παρισταμένη Χριστῷ τῷ Θεῷ, μὴ παύσῃ ἡμῖν δωρουμένη, εἰρήνην ἀδιάπτωτον καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Τὶς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro



Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. λα΄. 10, 26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε΄. 15—στ΄. 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. δ΄. 7).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυ-

www.tezaurliturgic.ro



μίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Εσταλάξατε οἱ Παρθενῶνες, καὶ αἱ Λαῦραι γλυκασμόν, καὶ σὺ Μονὴ τοῦ Χρυσοβαλάντου, σκίρτα καὶ χόρευε, ὅτι ἐκ τῶν σῶν ἀγκαλῶν, ἀνέθορεν ὡς κυπάρισσος, ἡ Βασιλικὴ παρθένος, καὶ ἀγλαοφανὴς Εἰρήνη· ἀκρέμων ἡ ἔκλαμπρος, τῆς ταπεινώσεως τὸ ὑπερφυὲς σεμνολόγημα, τῆς ὑπομονῆς ἡ ἀκατάσειστος κρηπίς, ἡ ἀκένωτος πηγὴ τῶν θαυμάτων, καὶ τῆς διδασκαλίας, ἀηδὼν ἡ καλλικέλαδος· ὑφ' ἧς ποδηγετούμεναι, αἱ φιλομόναχοι ψυχαί, εὐτόλμως ἀναβαίνουσιν, ἀπὸ τῶν ἐπιγείων εἰς τὰ οὐράνια.

Ἦχος β΄.

Βασιλικῆς ἀποσφαλεῖσα εὐκλείας, πρὸς θεϊκῆς υἱοθεσίας τὴν ἀγλαΐαν, εὐστόχως ἠτένισας· πάντα γὰρ ὑφ' ἓν παρωσαμένη, γένος, πλοῦτον καὶ ἀκμὴν νεότητος, τὴν ἀγαθὴν μερίδα, ἀντὶ πάντων προέκρινας· ἔνθεν τῇ ἐγκρατείᾳ τὴν ἁγνείαν φαιδρύνασα, καὶ τῇ ἀπαθείᾳ, τὴν χάριν δηλώσασα, τοῦ μεγάλου Βασιλέως, θυγάτηρ ὤφθης εὐκλεής· ᾧ καὶ πόθῳ ἔκραζες: Εἰς ὀσμὴν μύρων σου Λόγε ἔδραμον, πάντα καταλείψασα· διὸ κατασκηνώσω, ἐν τῷ φωτὶ τοῦ προσώπου σου.

www.tezaurliturgic.ro



Ἦχος γ΄.

Τίς ἐπαξίως ὑμνήσει, τῶν ἀρετῶν σου τὰ τρόπαια, Εἰρήνη παμμακάριστε; σὺ γὰρ ἐν ἀσθενείᾳ τοῦ θήλεος, τὸν τῆς Εὔας πτερνιστήν, τῇ τοῦ Σταυροῦ ἀρωγῇ, ἀνδρικῶς ἐθριάμβευσας. Ὄντως μακαρία σὺ εἶ, ὅτι τὸν καρπὸν τῆς θεώσεως, ἐπιτηδείως ἐτρύγησας· τῆς γὰρ αἰσθήσεως ἐκβεβηκυῖα νοερῶς, τῶν ὑπὲρ αἴσθησιν ἀγαθῶν, εἰσεποιήσω τὰ ἀκροθίνια. Ὅθεν σωμάτων μὲν ἰωμένη τοὺς μώλωπας, καὶ ψυχῶν τὰς νόσους, παρέχεις ἑνὶ ἑκάστῳ, τὰ πρὸς σωτηρίαν αἰτήματα.

Ἦχος δ΄.

Ὡς τῆς εἰρήνης ἐπώνυμος, τὴν φερωνυμίαν ἐπαληθεύουσαν ἔδειξας· τῷ γὰρ Εὐαγγελίῳ τῆς εἰρήνης ἀφορῶσα, τὰ τῆς εἰρήνης Ἀποστολικῶς ἐδίωξας, καὶ τὰ τῆς εἰς ἀλλήλους οἰκοδομῆς· ὅθεν μακαρισμοῦ θείου τυχοῦσα, τῷ ποταμῷ τῆς εἰρήνης, ὡς ἐκλεκτὴ ἀποκατέστης, Ἀλλ' ἐπόμβρησον καὶ ἡμῖν, τῆς ἀληθοῦς εἰρήνης τὴν δρόσον, ἵνα τῶν σκανδάλων τὸ πῦρ ἐκφύγωμεν, καὶ τῷ ἀρχιγῷ τῆς εἰρήνης, ἐν ὁμονοίᾳ λατρεύσωμεν, Εἰρήνη Θεοδόξαστε, Ὁσίων ἐγκαλλώπισμα.

Δόξα. Ἦχος πλ. α΄.

Τῷ ἀθανάτῳ Βασιλεῖ, κατηγγυήθης ὡς ἄμωμος, Εἰρήνη μακαρία· ἔνθεν ἀξίως τῆς κλήσεως, κατάλληλον βίον ἀνύσασα, ὑπερφυῶς ἐμεγαλύνθης· ὅπου γὰρ Θεὸς ἐνδημήσει, τὰ ὑπὲρ φύσιν τελεσιουργεῖται· τῷ γὰρ ἄνακτι ἀδήλως ἐπιστᾶσα, τοῦτον ἐξέπληξας· τὰ πόρρω ὡς ἐγγὺς προέλεγες, καὶ τῶν ἐσομένων τὰς ἐκβάσεις προεώρας· δαιμόνων τὴν ἰσχὺν ἐξενεύρισας, καὶ τοὺς ἀσθενοῦντας τῷ λόγῳ ἐθεράπευσας· οὕτω γὰρ οἶδε δο-

www.tezaurliturgic.ro



ξάζειν Χριστός, τοὺς αὐτὸν δοξάζοντας. Αὐτὸν οὖν ἐκτενῶς ἱκέτευε, δωρηθῆναι ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Στιχηρὰ Προσόμοια

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἐπωνυμία τερπνή, τῆς αἰωνίου ἀληθῶς ἀπολαύσεως· ἡ κλήσει ὑποδηλοῦσα, τὰς ὑπὲρ νοῦν ἀμοιβάς, τῶν θεοπρεπῶν σου ἀναβάσεων· λειμὼν ὁ μυρίπνοος, θεωρίας καὶ πράξεως, ἡ μυροθήκη, τοῦ σεπτοῦ ἁγιάσματος, ἡ τὴν ἄϋλον, διαπνεύουσα εὔπνοιαν· ἄνθος τὸ εὐωδέστατον, καὶ ῥόδον τὸ ἔμψυχον, ὃ προσηνέχθη τῷ Λόγῳ, ὀσμὴ ἁγνὴ εὐαπόδεκτος. Αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.....

Χαίροις ἡ νοητὴ ἀηδών, ἡ λογικὴ περιστερὰ καὶ περίδοξος, τρυγὼν ἡ ὡραιοτάτη, ἡ νοητῶν ἰξευτῶν στερρῶς διαδρᾶσα τὰ βουλεύματα· ἀμνὰς ἡ ἀμίαντος, τοῦ καλοῦ Ἀρχιποίμενος, ὃ καὶ ἐβόας, τετρωμένη τῷ ἔρωτι· ποῦ νυμφίε μου, ποῦ ποιμαίνεις τοὺς ἄρνας σου; δεῖξον κἀμοὶ τὴν ὄψιν σου, καὶ λέξον μοι ἄρρητα· ὅτι τερπνή σου ἡ θέα καὶ ἡ φωνή σου ζωήρρυτος· Αὐτὸν ἐκδυσώπει, τοῖς τιμῶσί σε Εἰρήνη, δοῦναι συγχώρησιν.

www.tezaurliturgic.ro



Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου .......

Ὤφθης τοῦ Βασιλέως Χριστοῦ νύμφη Ὁσία, ὡς σεμνὴ καὶ ἀκήρατος, ἁγνείᾳ πεποικιλμένη, καὶ ἀρετῶν καλλοναῖς, ὡραϊζομένη θείῳ Πνεύματι· διὸ καὶ ἐβόας σοι, τὰ τοῦ Ἄσματος ῥήματα: Δεῦρο πλησίον, ἐκ Λιβάνου ἀσκήσεως, δεῦρο θύγατερ, εἰς οὐράνιον θάλαμον, εἴσελθε εἰς ἀείζωα, τῆς δόξης βασίλεια, τῆς αἰωνίου εἰρήνης, κομιζομένη τὴν ἔλλαμψιν· δι᾽ ἧς, ὦ Εἰρήνη, καταφαίδρυνον τοὺς πόθῳ, σὲ μακαρίζοντας.

Δόξα. Ἦχος πλ. δ'.

Δεῦτε ἅπαντες πιστοί, τῇ θεοφόρῳ Εἰρήνῃ, μετὰ σπουδῆς δράμωμεν. Ἰδοὺ γὰρ πάρεστιν ἡμῖν, τῇ ἐτησίῳ αὐτῆς μνήμῃ, εἰρηνοποιὰ χαρίσματα, ἑνὶ ἑκάστῳ κατ᾽ ἀξίαν νέμουσα· ἐμφορηθῶμεν οὖν πάντες, τῆς παρ᾽ αὐτῆς δωρεᾶς, καὶ ἴδωμεν τῇ διανοίᾳ, οἵας χάριτος ἐνδίκως ἠξίωται· τῆς παρθενίας ἡ λαμπηδών, τῆς ἀπαθείας τὸ κειμήλιον, τῶν μυστικῶν ἀρωμάτων, ἡ ἔμπλεως φιάλη· ἐν τῷ οἴκῳ γὰρ τοῦ Θεοῦ, παραρριπτεῖσθαι ἐξελέξατο, ἢ πρόσκαιρον ἔχειν, τιμῆς ἀπόλαυσιν· ὅθεν ἀγγελικῶς διαπρέψασα, ἀγγελικῆς εὐκλείας ἔτυχε· καὶ πρεσβεύει ἀπαύστως, τῷ εἰρηνάρχῃ Θεῷ, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Βασιλείας γηΐνου πάλαι οὐκ ἔτυχες, ἀλλ᾽ ἀφθάρτων στεφάνων νῦν σε ἠξίωσεν, ὁ νυμφίος σου Χριστὸς ὁ ὡραιότατος· ὦ καθιεέρωσας

www.tezaurliturgic.ro



σαὐτήν, ὅλη καρδίᾳ καὶ ψυχῇ, Εἰρήνη Ὁσία Μῆτερ, Χρυσοβαλάντου ἡ δόξα, ἡμῶν δὲ προσφυγὴ καὶ βοήθεια.

Ἕτερον. Δόξα. Ἦχος γ'. Θείας πίστεως.

Δόξαν ῥέουσαν, ὑπεριδοῦσα, νύμφη ἄμωμος, ὤφθης τοῦ Λόγου, δι' ἀσκήσεως Ὁσία ἐκλάμψασα· ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ἡμᾶς διαφύλαττε, ἀξιάγαστε, Χριστῷ τῷ Θεῷ πρεσβεύουσα, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

Ἀπόλυσις τοῦ Ἑσπερινοῦ.



www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, ψάλλομεν τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ.

Εἶτα ἡ συνήθης Στιχολογία τοῦ Ψαλτηρίου καὶ

## ΜΕΤΑ ΤΗΝ Α΄. ΣΤΙΧΟΛΟΓΙΑΝ

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἄνθος εὐθαλές, καὶ ἡδύπνευστον κρίνον, ἐξήνθησας σεμνή, ἐν κοιλάδι τοῦ βίου, καὶ χαίρουσα προσήγαγες, Ἰησοῦ τῷ νυμφίῳ σου, τὴν ἀκήρατον, τῶν ἀρετῶν εὐωδίαν· ὃν ἱκέτευε, τοῦ εἰρηνεῦσαι τὸν κόσμον, Εἰρήνη φερώνυμε.

Δόξα. Ὅμοιον.

Ὡραία τῇ μορφῇ, εὐπρεπὴς τῇ καρδίᾳ, λαμπρὰ καὶ τῇ ψυχῇ, δεδειγμένη Ὁσία, τερπνὸν καταγώγιον, τῆς Τριάδος γεγένησαι, δι᾽ ἀσκήσεως, καὶ καθαρᾶς πολιτείας, καὶ ἀπείληφας, τὴν ἐπουράνιον δόξαν, Εἰρήνη θεόσοφε.

Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Ὀπίσω σου Ἁγνή, ἡ θεόφρων νεᾶνις, λιποῦσα τὰ τῆς γῆς, ἠκολούθησε Κόρη, καὶ χαίρουσα προσήνεκται, τῷ ἐκ σοῦ ἀνατείλαντι, μεγαλύνουσα, σὲ τὴν πηγάσασαν κόσμῳ, τὸ ζωήρρυτον, καὶ ἐπουράνιον μύρον, Παρθένε Παντάνασσα.

www.tezaurliturgic.ro



## ΜΕΤΑ ΤΗΝ Β'. ΣΤΙΧΟΛΟΓΙΑΝ

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη εὐπρεπῶς, Μοναζουσῶν θεῖος χορός, ὅτε εἶδε σε φρικτῶς, μέσον Ὁσία τῆς νυκτός, προσευχομένην τῷ ἀνεσπέρῳ Ἡλίῳ· ὅλη γὰρ λαμπρά, ὅλη μετέωρος, ὕπερθεν τῆς γῆς, ἑστῶσα ἔφανες, τὸ τῆς μελλούσης δόξης προοίμιον, ὡς ἐν ἐσόπτρῳ τῷ σώματι· ὢ θείας δόξης! ἧς ἠξιώθης, Εἰρήνη θεομακάριστε.

Δόξα. Ἐπεφάνη σήμερον.

Ὡς λαμπρὰ κυπάρισσος Θεῷ ὑψώθης, διὰ βίου κρείττονος, καὶ θεωρίας ὑψηλῆς· ὅθεν σὴν χάριν ἐδήλωσε, τῶν κυπαρίσσων ἡ κλίσις τῇ νεύσει σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν ἀγκάλαις φέρουσα τὸν συνοχέα, τοῦ παντὸς Θεόνυμφε, ὥσπερ λαβὶς χρυσοειδής, ταῖς θεϊκαῖς ὡραιότησι, τὴν θεοφόρον Εἰρήνη ἐλάμπρυνας.

Μετὰ τὸν Πολυέλεον

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς παρθένος φρονίμη καὶ ἐκλεκτή, τὴν λαμπάδα Ὁσία τὴν μυστικήν, ἐλαίῳ ἀσκήσεως, δαψιλῶς καταρδεύσασα, ἀκοίμητον τὸ φέγγος αὐτῆς διετήρησας, ἀεὶ ἐκδεχομένη τὴν ἄνωθεν πρόσκλησιν· ὅθεν εἰς νυμφῶνα εἰσελθοῦσα τὸν θεῖον, τρυφᾷς ὑπὲρ ἔννοιαν, ταῖς ἀρρήτοις φαιδρότησιν, ὦ Εἰρήνη ἰσάγγελε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὡς παράδεισος ἔμπνους καὶ εὐθαλής, ὡς θεόβλαστος ῥάβδος καὶ λογική, ἀσπόρως ἐβλάστησας, τὸν τροφέα τῆς κτίσεως, ξηράναντα

www.tezaurliturgic.ro



ἐν ξύλῳ, ἄρας τὰ βλαστήματα, καὶ αἰωνίου δόξης, τὸν πλοῦτον βλαστήσαντα, τοῖς σὲ ὀρθοδόξως Θεοτόκον φρονοῦσι, Παρθένε Πανάμωμε, Προφητῶν περιήχημα, καὶ βοώντων βοήθεια. Πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πόθῳ, τῇ θείᾳ προνοίᾳ σου.

Τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Πᾶσα πνοή.

Εὐαγγέλιον. ἐκ τοῦ κατὰ Μάρκον.
(Κεφ. η'. 34—38).

Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· Ὃς γὰρ ἂν θέλει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, μετὰ τῶν Ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν Βασιλείαν τοῦ Θεοῦ, ἐληλυθυῖαν ἐν δυνάμει.

Ὁ Ν'. (50ος) Ψαλμός.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

www.tezaurliturgic.ro



Ἀπαρνησαμένη σεαυτήν, καὶ τὸν Σταυρόν σου Εὐαγγελικῶς βαστάσασα, ἔξω κόσμου καὶ σαρκὸς ἐπολιτεύσω· ὢ τοῦ θαύματος! πῶς τὸ ἁπαλὸν καὶ γεῶδές σου σῶμα, ὅλον πύρινον καὶ διαφανές, ὡς ἔσοπτρον εἰργάσω; πῶς ἐν ἀσθενείᾳ φύσεως, τῆς ἀϋλίας ἤνθησας τὰς χάριτας, καὶ τῆς ἀναστάσεως ἐκέκτησο τὰ προοίμια; Ὄντως ἔργον τοῦτο, τοῦ κενωθέντος μέχρι καὶ δούλου μορφῆς, καὶ ὑπανοίξαντος ἡμῖν, τῆς ἀθανασίας τὰς εἰσόδους. Ὢ προσάγειν ἱκεσίας μὴ παύσῃ, τοῦ εἰρηνεῦσαι περιούσιον λαόν, Εἰρήνη μεγαλώνυμε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.....

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄.

Καὶ τῆς Ὁσίας οἱ δύο εἰς η΄.

Κανὼν τῆς Θεοτόκου οὗ ἡ ἀκροστιχίς.

«Χάριτος ζωῆς ἀξίωσόν με Κόρη. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσε, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα». (Δίς)

Χαριτοβρύτων δωρεῶν θησαύρισμα, γεγενημένη Ἁγνή, ἐκ τῶν ἀκενώτων, θησαυρῶν τοῦ Πνεύματος, χάριτος θείας δώρημα, τῷ σῷ δούλῳ παράσχου, ὅπως ὑμνήσω Πανάμωμε, τὰ ὑπερφυῆ σου θαυμάσια.

Ἀδιαφθόρως τὸν Θεὸν γεγέννηκας, τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, ὑπὲρ νοῦν καὶ λόγον, γεγονότα Ἄχραντε, καὶ τῆς φθορᾶς ἐξήρπασας, τὸν Ἀδὰμ καὶ τὴν Εὔαν· ὅθεν σοι χαῖρε κραυγάζομεν, χαῖρε ἀφθαρσίας παράδεισε.

www.tezaurliturgic.ro



Ρήσεων χαῖρε τυπικῶν ἡ ἔκβασις, Εὐλογημένη Ἁγνή, χαῖρε θεηγόρων, Προφητῶν τὸ πλήρωμα· τὸν τούτοις γὰρ λαλήσαντα, ἐν συμβόλοις καὶ τύποις, ὑπερφυῶς σωματώσασα, ὤφθης σωτηρίας κεφάλαιον.

Ἱεραρχίαι νοερῶν Δυνάμεων, ἐν πυριφθόγγοις φωναῖς, χαῖρέ σοι Παρθένε, αἰωνίως ᾄδουσι· χαῖρε τοῦ Λόγου ὄχημα, χαῖρε ἔκπαγλον θάμβος, τῶν τεταγμένων καὶ ἔκπληξις, ὡς Σολομών σοι ἐβόησε.

Κανὼν πρῶτος τῆς Ὁσίας οὗ ἡ ἀκροστιχίς.
«Εἰρήνην ὑμνῶ τὴν πανολβίαν. Γερασίμου.»
Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Εἰρήνης ἄρχων καὶ σοφίας πάροχε, Λόγε Θεοῦ καὶ Θεέ, λόγον μοι σοφίας, βράβευσον τοῖς χείλεσιν, ὅπως ὑμνήσω Δέσποτα, τῆς Ὁσίας Εἰρήνης, τὰ εὐκλεῆ κατορθώματα, δι᾽ ὧν ἐπὶ γῆς σὲ ἐδόξασεν.

Ἱκανουμένη παρθενίας ἔρωτι, ἀπὸ παιδὸς ὦ σεμνή, ἤθεσιν ἐνθέοις, εὐκλεῶς συνήκμασας· ψυχῆς γὰρ τὴν εὐπρέπειαν, ἀνενδότως τηροῦσα, κάλλος ἐδείχθης ἀπόθετον, χάριτι καὶ φύσει ἐκλάμπουσα.

Ῥάδαμνος ἔφυς εὐθαλὴς καὶ πάγκαρπος, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἐξ εὐγενοῦς ῥίζης, προελθοῦσα πάνσεμνε, εἰρήνην δὲ καὶ λύτρωσιν, καὶ ψυχῶν σωτηρίαν, καρποφορεῖς ταῖς πρεβείαις σου, τοῖς εἰλικρινῶς σε γεραίρουσι.

Θεοτοκίον.

Ἡ ἐξ αἰῶνος ἐκλεκτὴ καὶ ἄμωμος, ἡ καλλονὴ Ἰακώβ, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, ἁγνὴ δὲ διαμείνασα, μετὰ γέννησιν θείαν, Εὐλογημένη Πανάμωμε, ῥῦσαι ἐναγῶν με προλήψεων.

www.tezaurliturgic.ro



Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς.

«Θείας με εἰρήνης ἀξίωσον Μῆτερ. Γερασίμου».

Ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην.

Θείων ἀπαυγασμάτων, τῶν προϊόντων ἀεί, ἐκ πηγῆς Τρισηλίου ἐμπιπλαμένη ἔνδοξε, τὸν νοῦν μου καταύγασον, Εἰρήνη πολύδωρε, εὐφημοῦντος τὴν πολιτείαν σου.

Ἔχουσα τῆς ἁγνείας, τὸ τάλαντον ταῖς χερσίν, εἰς ἑκατὸν τοῦτο ἐμφρόνως ἐπλεόνασας, ἱδρῶσιν ἀσκήσεως, Εἰρήνη θεόσοφε, ἐπινίκιον ὕμνον ᾄδουσα.

Ἴθυνας τὰς κινήσεις, τῆς ψυχικῆς σου ῥοπῆς, ἐκ νεότητος Μῆτερ, πρὸς ἐφετῶν τὸ ἔσχατον· ἐντεῦθεν ἐξέκλινας, τῆς προσύλου σχέσεως, βίον ἄϋλον ἀγαπήσασα.

Θεοτοκίον.

Ἄσπορον ἔσχες τόκον, γεννήσασα ἐν σαρκί, τὸν Ὑπέρθεον Λόγον δι' ἄκραν ἀγαθότητα, Παρθένε Πανάμωμε, κόσμον ἐκλυτρούμενον, ἐκ τῆς ἀρχαίας παραβάσεως.

Καταβασία.

Χοροὶ Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρόν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες, ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας Δομῆτορ, σὺ μὲ στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε». (Δίς)

www.tezaurliturgic.ro



Τὸ περίοπτον ὄρος, καὶ ἀρεταῖς σύσκιον, καὶ τετυρωμένον καὶ πῖον, ἀρρήτοις χάρισι, χαῖρε Πανάμωμε, χαῖρε Ἁγνὴ Θεοτόκε, ἅρμα μυριώνυμον, τοῦ Παντοκράτορος.

Οὐρανόφυτε ῥάβδε, ἄνθος ζωῆς φέρουσα, τὸν Δημιουργὸν τῶν ἁπάντων, χαῖρε Ἀπείρανδρε, χαῖρε πολύανθον, καὶ ζωοδώρητον ἔαρ, πνέον τοῖς ἐκλείπουσιν, αὔραν αἰώνιον.

Σωτηρίας ἀνθρώπων, χαῖρε ἀρχὴ Ἄχραντε, ἄγκυρα βεβαία ἐλπίδος, τῶν πεποιθότων σοι· χαῖρε πολύφωτε, καὶ χρυσαυγέστατε ὄρθρε, τῆς ζωῆς τὸν Ἥλιον, κόσμῳ ἀστράψασα.

Ζωηφόρος λυχνία, χαῖρε Ἁγνὴ Δέσποινα, τῆς ἀθανασίας τὴν αἴγλην, πλουσίως λάμψασα, τοῖς ἐγκαθεύδουσιν, ἐν τῇ σκιᾷ τοῦ θανάτου· χαῖρε ἄστρον ἄδυτον, τῆς θείας γνώσεως.

Τῆς Ὁσίας. *Ὁ στερεώσας κατ' ἀρχάς.*

Νοΐ σεμνῇ προφητικῷ, τὴν ἐσομένην σοι δόξαν, ὁ κλεινὸς Ἰωαννίκιος βλέπων, προηγόρευσε σαφῶς, τοῦ βίου σου τὴν ἔλλαμψιν, Εἰρήνη μακαρία, Μοναζουσῶν ἀγαλλίαμα.

Ἠκριβωμένως καὶ σοφῶς, τὸ γεγονὸς ἐν σοὶ γνοῦσα, τῶν ἐν κόσμῳ ἀντηλλάξω αὐτίκα, τὴν ἰσάγγελον ζωήν, καὶ Βασιλέα ἄφθαρτον, ἀντὶ τοῦ ἐπιγείου, μόνον νυμφίον ἐπόθησας.

Νεᾶνις Λόγε εὐπρεπής, τῶν ἡδυπνόων σου μύρων, πτερωθεῖσα τῇ ἀΰλῳ εὐπνοίᾳ, ἠκολούθησε Χριστέ, ἀσκητικῶς σοι κράζουσα: Ὀπίσω σου δραμοῦμαι, ὅτι τῷ πόθῳ σου τέτρωμαι.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὑπερφυέσιν ἀστραπαῖς, τῶν ὑπὲρ νοῦν μεγαλείων, τῆς ἀφάτου σου εὐκλείας Παρθένε, λαμπομένη θεουργῶς, φέγγει ἀΰλῳ ηὔγασας, Εἰρήνην τὴν Ὁσίαν, ὑμνολογοῦσαν τὴν δόξαν σου.

Δεύτερος. Ὁ πήξας ἐπ' οὐδενός.

Σαρκός σου τὸ εὐανθοῦν, μαράνασα πάνσεμνε, τοῖς ὑπερφυέσι σου ἀγωνίσμασιν, ὅλην εὐθαλῆ, ὅλην λαμπράν, ἔδειξας τὴν ψυχήν σου, καθάπερ νύμφην ἀμόλυντον, τῷ θεουργικῶς σε δοξάσαντι.

Μεγίσταις σε ἀρεταῖς, ἐκλάμπουσαν βλέπουσαι, αἱ σεμνῶς ἀσκούμεναι σὺν σοὶ ἔνδοξε, ᾔνουν τὸν μεγάλαις δωρεαῖς, κρίσει δικαιοτάτῃ, θεοπρεπῶς σε κοσμήσαντα, εἰς πολλῶν ψυχῶν περιποίησιν.

Ἐλαία καρποτελής, λειμῶσιν ἀσκήσεως, ἀληθῶς ἐδείχθης ὦ εἰρηνώνυμε, ἔλαιον εἰρήνης ἀληθοῦς, καὶ θείας εὐσπλαχνίας, τὴν ἱλαρότητα πηγάζουσα, τοῖς εἰλικρινῶς σοι προστρέχουσι.

Θεοτοκίον.

Ἐπήγασας τοῖς ἐν γῇ, ὡς μύρον οὐράνιον, τὸν τὰς πανευώδεις νέμοντα χάριτας, Ἄχραντε Παρθένε μυστικῶς, οὗπερ τῇ ἐνεργείᾳ, Εἰρήνη ἡ θεοπόθητος, βίον ἀκηλίδωτον ἤνυσε.

Καταβασία.

«Τόξον δυνατὸν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου».

www.tezaurliturgic.ro



Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς εἰρήνης τὸν ἄρχοντα ἀγαπήσασα, τῆς ἐν αὐτῷ κοινωνίας σύμφυτος ὤφθης σεμνή, τῶν ἐν κόσμῳ ἀγαθῶν καταφρονήσασα· ὅθεν πρὸς θάλαμον τερπνον, ὡς παρθένος εὐκλεής, ἀνέδραμες Πανοσία, εἰρήνην καὶ εὐφροσύνην, ἐξαιτουμένη ταῖς ψυχαῖς ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Τὸ κατάσκιον ὄρος καὶ θεοβάδιστον, ἡ ἀκατάφλεκτος βάτος καὶ Θεοτόκος Ἁγνή, ἡ ἀκένωτος πηγὴ τοῦ θείου νέκταρος, ὁ φωτοστόλιστος ναός, ἡ πολυτίμητος παστάς, τοῦ τῶν ἁπάντων Δεσπότου, ἀνευφημείσθω ἀξίως, ὡς κόσμον σώζουσα ἑκάστοτε. /

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Σύ μου ἰσχύς, σύ μου καὶ ὕμνησις Κύριε, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ σοὶ κραυγάζω, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε». (Δίς)

Ὡς τὸν Θεόν, ἀνερμηνεύτως κυήσασα, καὶ τὴν φύσιν, τῶν βροτῶν θεώσασα, χαῖρε Παρθένε, χαῖρε Ἁγνή, χαῖρε τοῦ θανάτου, τὸ κράτος ἐξαφανίσασα, ζωὴν δὲ μακαρίαν, προξενήσασα πᾶσι, τοῖς τὸ χαῖρε φαιδρῶς ἀνακράζουσι.

Ἡ κιβωτός, ἡ λογικὴ καὶ κατάχρυσος, χαῖρε Κόρη, μόνη Παντευλόγητε, ἡ νομοδότην ἐν σῇ γαστρί, σχοῦσα ἀπορρήτως, νόμον φθορᾶς καταλύσαντα, καὶ νόμους ἀφθαρσίας, ἡμῖν νομοθετοῦντα, τοῖς πιστῶς σοι τὸ χαῖρε κραυγάζουσι.

www.tezaurliturgic.ro



Σὺ τῷ Θεῷ, πρὸ τῶν αἰώνων προώρισαι, τῷ ἀφράστως, ἐπ᾿ ἐσχάτων Πάναγνε, ἐν σοὶ οἰκήσαντι ὑπὲρ νοῦν, καὶ φωταγωγοῦντι, τοὺς χαρμοσύνως βοῶντάς σοι· χαῖρε τοῦ Θεοῦ Λόγου, παλάτιον ὡραῖον, χαῖρε κόρη βροτῶν ἡ ἀνάκλησις.

Ἅπασα γῆ, πάντα τὰ ἔθνη κροτήσατε, τῇ Παρθένῳ, μέλος ἐναρμόνιον, ἀναβοῶντες χαρμονικῶς, χαῖρε μυστηρίων, ἀκαταλήπτων φανέρωσις· χαῖρε τῶν οὐρανίων, ἅμα καὶ ἐπιγείων, συναπτήριον ξένον Θεόνυμφε.

Τῆς Ὁσίας. Ὁ αὐτός.

Μαρμαρυγαῖς, τῶν προσευχῶν διαλάμπουσα, τοῦ πανσόφου, Ἀρσενίου πάνσεμνε, εἰκὼν ἐδείχθης καὶ χαρακτήρ· σὺ γὰρ κατ᾿ ἐκεῖνον, στάσει παννύχῳ ὀρθρίζουσα, Χριστῷ τῷ Φωτοδότῃ, ἀνεβόας συντόνως· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Νάρδον ζωῆς, μύρου ἀΰλου ἀπόρροιαν, καὶ χαρίτων, δρόσον ἐν καρδίᾳ σου, ἐξ Ἀερμὼν Μῆτερ νοητοῦ, γλυκερῶς ἐδέχου, ὁλονυκτίως ὀρθρίζουσα, καὶ αἴρουσα Κυρίῳ, τὰς ὁσίας σου χεῖρας, ὡς Μωσῆς ὁ θεόπτης Θεόνυμφε.

Ὡς νουνεχής, ὁλοσχερῶς ἀτενίζουσα, τῷ ἐν δόξῃ Πατρικῇ ἑδρεύοντι, καὶ κενωθέντι μέχρι σαρκός, τούτου τῆς πτωχείας, τὸν πλοῦτον Μῆτερ ἠγάπησας, νηστείᾳ, εὐτελείᾳ καὶ ταπεινοφροσύνῃ, Ἀσκουσῶν τῇ χορείᾳ ἐμπρέπουσα.

Θεοτοκίον.

Τὴν τοῦ Ἀδάμ, πτῶσιν Παρθένε ἠνώρθωσας, ὡς τεκοῦσα, τὸν ἀνακαινίσαντα, διὰ παθῶν φύσιν τὴν ἡμῶν, καὶ τῆς ἀπαθείας, τὴν τρίβον πᾶσι

www.tezaurliturgic.ro


γνωρίσαντα· διό σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, μεγαλύνομεν μόνη Πανύμνητε.

Δεύτερος. Τὴν θείαν ἐννοήσας σου.

Ἰδών σου ὁ Προγνώστης τὴν ἔφεσιν, Ἄγγελον θεῖον ὁδηγόν, ὡς ἰσαγγέλῳ ἐκπέμπει σοι, κρυφιομύστως, Ὁσία, τὴν γνῶσιν τῶν ἀδήλων μυοῦντά σε.

Ῥεόντων τὰς ἐπόψεις μισήσασα, τῶν αἰωνίων ἀγαθῶν, φιλοθεάμων γεγένησαι, ταῖς ὑπὲρ νοῦν θεωρίαις, Ὁσία ἀνενδότως σχολάζουσα.

Ηὐγάσθης ταῖς ἀΰλοις ἐλλάμψεσι, καὶ καρδιῶν τὰ ἀφανῆ, ἑώρας τῶν προσιόντων σοι· ὅθεν τῷ φόβῳ Κυρίου, ψυχῶν τὰς διαθέσεις ἐρρύθμιζες.

Θεοτοκίον.

Ναμάτων ψυχοτρόφων ἐπόβρισον, πηγὴ ἀρρήτων ἀγαθῶν, τῷ τηκομένῳ ἐν θλίψεσι, ρανίδα Κόρη ἐλέους· τῇ σκέπῃ σου γὰρ πόθῳ κατέφυγον.

Καταβασία.

«Εἰσακήκοα τὴν ἔνδοξον, οἰκονομίαν σου Χριστὲ ὁ Θεός· ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ρύσῃ τοὺς κραυγάζοντας· δόξα τῇ δυνάμει σου Κύριε».

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

«Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; Ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι». (Δίς)

www.tezaurliturgic.ro



Ξενωθέντα τὸν κόσμον, τοῦ πεποιηκότος διὰ παραβάσεως, πάλιν ᾠκειώσω, τῷ Θεῷ ἀνωδίνως κυήσασα, τὸν προσαγαγόντα, ἡμῶν τὴν φύσιν ἐλευθέραν, τῷ Πατρὶ Θεοτόκε Ἀμίαντε.

Ἱλαστήριον χαῖρε, ἱλασμὸν σωτήριον καὶ ἀπολύτρωσιν, νέμουσα Παρθένε, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ σου· χαῖρε μανναδόχε, καὶ ψυχοτρόφε ὄντως στάμνε, τὸ οὐράνιον μάννα παρέχουσα.

Ὡς περίδοξος θρόνος, φέρουσα ἐν κόλποις σου τὸν ἀπερίγραπτον, χαῖρε Θεοτόκε, χαῖρε πύλη ἣν μόνος διώδευσεν, ὁ συντρίψας πύλας, τὰς αἰωνίους τοῦ θανάτου, καὶ τρυφῆς διανοίξας τὴν εἴσοδον.

Σωτηρίας ἡ κλῖμαξ, χαῖρε θεοβάδιστε τόπε πανάγιε· χαῖρε μυροθήκη, τῶν χαρίτων τοῦ Πνεύματος ἄφθορε· χαῖρε ζωηφόρε, πηγὴ βλυστάνουσα τῷ κόσμῳ, τὸ ἁλόμενον ὕδωρ καὶ ἄφθαρτον.

Τῆς Ὁσίας. Ὁ αὐτός.

Ἡ τοῦ Πνεύματος χάρις, σκήνωμα θεότευκτόν σε ἀπειργάσατο, ἐν τῇ σῇ καρδίᾳ, εὐκλεῶς θεοφόρε φοιτήσασα· ὅθεν κυβερνῆτιν, καὶ ἀσφαλῆ χειραγωγίαν, τῆς ὁσίας σου Μάνδρας σε δείκνυσι.

Νάμασι ζωηφόροις, ὡς ὑδατοφόρος νεφέλη θεόβρυτος, ἤρδευσας πλουσίως, τὴν θεόλεκτον ποίμνην σου ἔνδοξε· λόγῳ γὰρ καὶ ἔργῳ, Μοναζουσῶν τὰς διανοίας, καρποφόρους τῷ Λόγῳ παρέστησας.

Ποτισθεῖσα ἱδρῶσι, τῶν κατορθωμάτων σου θεομακάριστε, πρὸς Θεὸν ὑψώθης, ὡς κυπάρισσος ὄντως ὑψίκομος· ὅθεν τὴν σὴν δόξαν,

www.tezaurliturgic.ro



τῶν κυπαρίσσων αἱ προσκλίσεις, τοῖς ὁρῶσιν Εἰρήνη ἐτράνωσαν.

Θεοτοκίον.

Ἀπειρόγαμε νύμφη, ἡ τὸν Ὑπερούσιον σαρκὶ κυήσασα, κούφισον τοὺς πόνους, τῆς ἀθλίας σαρκός μου λιτάζω σε, καὶ τὰς τῆς ψυχῆς μου, παῦσον ὀδύνας τὰς χρονίους, Θεοτόκε πταιόντων ἐξίλασμα.

Δεύτερος. Ὁ ἀναβαλλόμενος.

Ἤσχυνας καὶ ἔλυσας, τῇ συντονίᾳ σου, τοῦ παλαμναίου τὰς μεθοδείας· σὺ γὰρ ἀκατάσειστος, ἵστασο θεόφρον, ταῖς ὑπὲρ νοῦν ἐλλάμψεσι.

Στόμφῳ σχετλιάζων σε, ὁ πολυμήχανος, ἡνίκα Μῆτερ Θεῷ προσηύχου, μανικῶς προσβάλλει σοι, ἀλλὰ τῇ σῇ στάσει γέλωτα ὄντως ὤφλησε.

Ἀρωμάτων εὔπνοιαν, θείαν διέπνευσαν, τῶν κεκαυμένων μελῶν σου Μῆτερ, οἱ ἰχῶρες ἅπασι· σὺ γὰρ εὐωδία, τοῦ Λόγου ὤφθης ἔμψυχος.

Θεοτοκίον.

Ξένα καὶ παράδοξα, τὰ σὰ θαυμάσια, Εὐλογημένη Δεδοξασμένη· τὸν γὰρ ἀπερίληπτον σάρκα γεγονότα, ἀφράστως ἐγαλούχησας.

Καταβασία.

«Ὁ τοῦ φωτὸς διατμήξας, τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνῇ σε Χριστέ, τὸν Δημιουργόν, ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον».

www.tezaurliturgic.ro


Ὠδὴ στ΄. Ὁ Εἱρμός.

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις· ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.» (Δίς)

Ὁλόφωτε, τοῦ Δεσπότου θάλαμε, χαῖρε Κόρη βασιλέως καθέδρα· χαῖρε ναὲ φωτοφόρε Κυρίου, τοῦ προελθόντος ἐκ σοῦ ὑπὲρ ἔννοιαν, καὶ ἅπαντας ἡμᾶς ναούς, τῆς αὐτοῦ ἐνεργείας τελέσαντος.

Ναμάτων σου γλυκερῶν ὑέτισον, τὰς ἡδίστας Θεοτόκε ψεκάδας, τοῖς εὐλαβῶς σοι τὸ χαῖρε βοῶσι, χαῖρε βυθὲ οὐρανίου χρηστότητος, καὶ πέλαγος τὸ γαληνόν, θεϊκῆς εὐσπλαγχνίας καὶ χάριτος.

Μητράνανδρε, χαῖρε νύμφη πάγκαλε, ἡ καλὴ ἐν γυναιξὶ καὶ ὡραία· χαῖρε λαβὶς φλογοφόρε τῆς δόξης· χαῖρε σκηνὴ θεαυγὴς θεοχώρητε, ἣν ᾤκησε μετὰ σαρκὸς ὁ συνέχων τὰ πάντα τῷ νεύματι.

Ἐκύησας, ὑπὲρ πᾶσαν ἔννοιαν, ἐν μορφῇ τῇ καθ' ἡμᾶς Παναγία, τὸν ἐν μορφῇ Θεοῦ ὄντα ὡς Λόγον, τῆς ἀλογίας ἡμᾶς λυτρωσάμενον· διό σοι ἅπαντες βροτοί, εὐχαρίστως τὸ χαῖρε κραυγάζομεν.

Τῆς Ὁσίας. Ὁ αὐτός.

Νοός σου, τὸ ὀπτικὸν καθάρασα, ἀρετῶν τῇ ἐμμελείᾳ Ὁσία, προφητικῆς ἐπιπνοίας ἐπλήσθης, τὴν τῶν μελλόντων προλέγουσα ἔκβασιν, καὶ ὡς ἑστῶτα τὰ μακράν, ἀκριβεῖ διαγνώσει προβλέπουσα.

www.tezaurliturgic.ro


Ὁ βίος σου ἀρεταῖς λαμπόμενος, τοὺς ἐν σκότει τῶν παθῶν καταυγάζει, καὶ βασιλεῦσιν αἰδέσιμος ὤφθη, συγκλητικούς τε ρυθμίζων καὶ ἄρχοντας· ἡ χάρις γὰρ ἡ τοῦ Θεοῦ, θαυμαστῶς σε Εἰρήνη ἐδόξασε.

Λαμπρύνασα, τὴν ψυχὴν ἐν Πνεύματι, τῶν ψυχῶν τὰ κεκρυμμένα ἑώρας καὶ λογισμῶν τὰς κινήσεις τηροῦσα, ἑνὶ ἑκάστῳ τὰ πρόσφορα ἔνεμες, σωτηριώδεις ἀφορμάς, χορηγοῦσα Ὁσία τοῖς χρῄζουσι.

Θεοτοκίον.

Βασίλισσα, τοῦ παντὸς καὶ Δέσποινα, ἀνεδείχθης ἀληθῶς Θεοτόκε, τὸν Βασιλέα τῶν ὅλων τεκοῦσα· πρὸς βασιλείαν αἰώνιον ἄγοντα, τοὺς διανοίᾳ καθαρᾷ, ὀρθοδόξως φρονοῦσί σε Ἄχραντε.

Δεύτερος. Μαινομένην κλύδωνι.

Ἰαμάτων βλύζουσα, ἀκενώτως τὰς ἐπιρροάς, ψυχῶν καὶ σωμάτων ἀπεκάθηρας, πάθη δεινά, Εἰρήνη τῶν προσιόντων σοι.

Ὡς σεμνῇ παρθένῳ σοι, ὁ παρθένος Μῆτερ Μαθητής, μῆλα ἐξαπέστειλε οὐράνια, δηλῶν ἡμῖν, τὴν πρὸς Θεόν σου οἰκείωσιν.

Σωφροσύνης ἄγαλμα, ὁμονοίας πρύτανις ἡμῖν, καὶ Χρυσοβαλάντου ἀγαλλίαμα, ὤφθης σαφῶς, Εἰρήνη θεομακάριστε.

Θεοτοκίον.

Οὐρανὸς πολύφωτος, ἀνεδείχθης Κόρη τοῖς ἐν γῇ, Ἥλιον τὸν ἄδυτον ἐκλάμψασα, τοῖς ἐν νυκτί, τῶν παραπτώσεων Ἄχραντε.

www.tezaurliturgic.ro



Καταβασία.

Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου».

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὴν τοῦ κόσμου εὔκλειαν, καταλιποῦσα Ὁσία, τῷ Χριστῷ νενύμφευσαι, τῷ Βασιλεῖ τῷ ἀφθάρτῳ, κάλλεσι, τῆς παρθενίας λελαμπρυσμένη, σκάμμασι, τῆς ἐγκρατείας πεποικιλμένη· διὰ τοῦτό σε Εἰρήνη, ὁ σὸς νυμφίος λαμπρῶς ἐδόξασε.

Ὁ Οἶκος.

Βασιλεῖ τῷ ἐπιγείῳ, ἐπειγομένη νυμφευθῆναι σεμνή, Βασιλέως τοῦ οὐρανίου ἤκουσας βοῶντός σοι Εὐαγγελικῶς: Δεῦρο ἀκολούθει μοι, καὶ ποιήσω σε τῆς ἐμῆς βασιλείας σύμφυτον καὶ κοινωνόν. Ὅθεν ὄγκον περιφανείας, καὶ παντὸς ἀξιώματος παριδοῦσα τὴν τιμήν, ἔδραμες ἀσχέτῳ ἔρωτι, τοῖς ἴχνεσι τοῦ οὐρανίου ἐραστοῦ. Τὶς οὖν ἐξείπῃ τῶν σῶν ἀγώνων τὰς ἀρετάς, ἢ τῶν θαυμάτων σου τὰς χορηγίας τὰς πολλαπλᾶς; Μεγάλως γὰρ ἀριστεύσασα, μειζόνως καὶ δεδόξασαι, πᾶσι τὰ πρὸς σωτηρίαν παρέχουσα, παρὰ Χριστοῦ Εἰρήνη τοῦ σοῦ νυμφίου, Ὅς λαμπρῶς σε ἐδόξασε.

Συναξάριον.

Τῇ κη'. τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Εἰρήνης, Ἡγουμένης τῆς Ἱερᾶς Μονῆς τοῦ Χρυσοβαλάντου, τῆς θαυματουργοῦ.

Στίχ. Εἰρηνικῶς ἔζησας Εἰρήνη πάλαι.
Καὶ νῦν κατοικεῖς ἔνθα εἰρήνη βρύει.
Εἰκάδι Εἰρήνη ὀγδοάτῃ Θεοῖο θώκῳ ἔστη.

www.tezaurliturgic.ro



Η ΜΕΓΑΛΩΝΥΜΟΣ αὕτη καὶ θαυμαστὴ Ὁσία Εἰρήνη ἤκμασε κατὰ τὸν ἔνατον αἰῶνα, γεννηθεῖσα ἐν Καππαδοκίᾳ, ἐκ γένους πλουσίου καὶ περιφανοῦς, ἐξ οὗ ἀνῆκεν ὡς βλαστὸς εὐθαλής, κάλλει σώματος, καὶ ἤθεσι χρηστοῖς, καὶ πάσῃ σεμνότητι ἐκλάμπουσα.

Τῆς βασιλίδος Θεοδώρας τὸν υἱὸν αὐτῆς Μιχαὴλ, γυναικί, ἐν πάσαις διαφερούσῃ, συζεῦξαι, διατάγματα ἐστέλλοντο καθ' ὅλην τὴν χώραν, τὴν ὑπὸ τὸ σκῆπτρον αὐτῶν τελοῦσαν, συναχθῆναι τὰς κάλλει καὶ ὥρᾳ σώματος, καὶ τρόποις ἀμέμπτοις διαπρεπούσας παρθένους πρὸς ἐκλογήν, μεθ' ὧν μία ἦν καὶ ἡ Εἰρήνη, ἐκ Καππαδοκίας ἐλθοῦσα. Καὶ ἐπεὶ συνέβη τὸν βασιλέα ἑτέραν παρθένον ἐπαγαγεῖν ἑαυτῷ εἰς γυναῖκα, αὕτη ἡ πάνσοφος, τῷ οὐρανίῳ Νυμφίῳ, ὅλῃ καρδίᾳ καὶ ψυχῇ ἑαυτὴν ἀναθεῖσα, ἠρνήσατο ἅπαντα, πλούτου δαψίλειαν, περιφανείας ὄγκον, δόξας, τιμάς, καὶ πάντα τἄλλα σφαλλόμενα, καὶ ἐγένετο μοναχή, τὸν ἐλαφρὸν καὶ γλυκὺν τοῦ Χριστοῦ ζυγὸν ἀραμένη, ἐν τῇ τοῦ Χρυσοβαλάντου Μονῇ μονάσασα. Αὕτη ἦν ἐν τῇ βασιλίδι τῶν πόλεων, ἐν τῷ πέμπτῳ λόφῳ, ἔγγιστά που τῆς τοῦ Ἄσπαρος, οὕτω καλουμένης κινστέρνης (δεξαμενῆς).

Ἰσάγγελον ζωὴν ἐπιδείξασα, σκεῦος εὔχρηστον, καὶ κατοικητήριον πολύτιμον, καὶ θησαυρὸς πολύολβος ἐγένετο τοῦ Ἁγίου Πνεύματος, χαριτωθεῖσα καὶ θαυμαστωθεῖσα τῇ ζωοποιῷ ἐνεργείᾳ, τῆς ἐν αὐτῇ πλουσίως σκηνωσάσης θείας χάριτος. Καὶ τῇ ἄνωθεν ψήφῳ, προεστῶσα καὶ ἡγουμένη χρηματίσασα τῆς Μονῆς ταύτης, σοφῶς καὶ θεαρέστως ἐποίμανε τὰς ἐν αὐτῇ μοναζούσας, τύπον καὶ παράδειγμα ἑαυτὴν παραστήσασα τῶν πρακτέων, λόγῳ καὶ ἔργῳ, καὶ πᾶσιν ἀγωνίσμασι, καὶ ἀγαθοῖς προτερήμασι.

Πλείστων δὲ θαυμάτων, καὶ παραδόξων ἔργων καὶ δυνάμεων αὐτουργὸς γενομένη, ἐξέπληττε τοὺς πάντας, τῇ δεδομένῃ αὐτῇ χάριτι, δαίμονας ἐλαύνουσα, ἀσθενεῖς ἰωμένη, τὰς τῶν ψυχῶν διαθέσεις καὶ τὰ κρύφια τῶν καρδιῶν διορῶσα πρὸς βελτίωσιν, καὶ τὰ πόρρω καὶ ἐσόμενα ὡς παρόντα ἀκριβῶς προλέγουσα. Καὶ θαυμαστῶς τῷ βασιλεῖ, τῇ τοῦ Παρακλήτου παντουργοῦ δυνάμει, ἐπιστᾶσα, εἰς θάμβος μέγα, καὶ ἔκπληξιν μείζονα τοῦτον ἐνέβαλεν, ἐπιτάττουσα αὐτῷ τὴν κατὰ τοῦ προσήκοντος αὐτῇ ἀκυρῶσαι ἄδικον ψῆφον.

Οὕτως οὖν ἡ ἀξιάγαστος καὶ μεγάλη Εἰρήνη πολιτευθεῖσα, καὶ περιβόητος τοῖς πᾶσι καὶ ἐξάκουστος γενομένη, καὶ τῷ ἑαυτῆς νυμφίῳ Χριστῷ πολυτρόπως εὐαρεστήσασα, μετέστη λαμπαδηφόρος εἰς τὸν οὐράνιον νυμφῶνα, ἐν βαθεῖ γήρατι, τὸ 103ον ἔτος ἄγουσα, τῇ 28ῃ Ἰουλίου, λάμψασα τῷ προσώπῳ ἐν ὥρᾳ τῆς ἐκδημίας ὡς ὁ ἥλιος, καὶ ἰδοῦσα μειδιάματι τοὺς παραγενομένους ἁγίους Ἀγγέλους. Κατετέθη δὲ τὸ σεπτὸν αὐτῆς σκῆνος ἐν τῇ ἱερᾷ ταύτης Μονῇ, πλείστας ἰάσεις καὶ μετὰ πότμον τελοῦσα, τοῖς μετὰ πίστεως προσερχομένοις, εἰς δόξαν Χριστοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro


Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλον βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.» (Δίς.)

Κόσμου τεκοῦσα χαῖρε λύτρον, χαῖρε κτίσεως μεθόριον καὶ Κτίστου· χαῖρε πλοῦτε ζωῆς, ἀρρήτων μυστηρίων, ταμεῖόν τε καὶ πρύτανις, χαῖρε Κεχαριτωμένη.

Ὅρμε ἀχείμαστε Παρθένε, τῶν ἐν θλίψεσι χειμαζομένων χαῖρε· ἀσφαλείας πυρσέ, ἐκ νοητῆς θαλάσσης, πρὸς τοὺς λιμένας ἕλκουσα, τῆς εἰρήνης χαῖρε Κόρη.

Ῥείθροις τῶν θείων οἰκτιρμῶν σου, σβέσον Ἄχραντε τὴν φλόγα τῶν παθῶν μου, ἵνα χαῖρε πηγή, βοῶ σοι χαρμοσύνως, ἡ πλουτοδότως στάζουσα, γλυκασμὸν ἀθανασίας.

Ηὔγασας φῶς δικαιοσύνης, τοῖς κραυγάζουσι χαῖρε λαμπὰς φωσφόρε· χαῖρε ὄρθρε λαμπρέ, ἠὼς ἡ γλυκυτάτη, ἡμέρα χαροπάροχε, τοῖς ἐν σκότει τῆς ἀπάτης.

Γέφυρα χαῖρε ἀφθαρσίας, ἡ μετάγουσα πρὸς γῆν τὴν τῶν πραέων, τοὺς βοῶντας φαιδρῶς, χαῖρε Παρθενομῆτορ· χαῖρε ἡ θεία εἴσοδος πρὸς αὐλὰς τὰς αἰωνίους.

Τῆς Ὁσίας. Ὁ αὐτός.

Ἴθυνας σύριγγι τοῦ λόγου, πρὸς ἀείζωον νομὴν ἐπαγγελίας, τὴν σὴν ποίμνην σεμνή, μεθ᾽ ἧς καὶ ἀνεβόας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄγγελον φύλακά σοι πέμπει, τὴν ἰσάγγελον ἰδών σου πολιτείαν, ὁ τῶν ὅλων Θεός, λαμπρῶς σε ὁδηγοῦντα, πρὸς κρείττονα ἐπίγνωσιν, μεγαλώνυμε Ὁσία.

www.tezaurliturgic.ro



Νέον πιστῶς σοι ὑπουργοῦντα, ὑπὸ πνεύματος βληθέντα ἀκαθάρτου, ἐλυτρώσω σεμνή, τῆς τοῦ ἐχθροῦ μανίας, βοῶσα τῷ Δεσπότῃ σου· ὁ Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Γένος βροτῶν λελυτρωμένον, τῇ κυήσει σου τῆς τοῦ Ἀδὰμ κατάρας, εὐφημεῖ σου Ἁγνή, τὰ θεῖα μεγαλεῖα, καὶ πόθῳ ἀνακράζει σοι· χαῖρε Κεχαριτωμένη.

Δεύτερος. Ὁ ὑπερυψούμενος.

Νόσους θεραπεύουσα, δαίμονας ἐλαύνουσα, εἰρήνην καὶ λύτρωσιν, Ὁσία ἐβράβευες, τοῖς βοῶσι τῷ Δεσπότῃ· ὁ Θεὸς εὐλογητός εἶ.

Μύρον ὡς πολύτιμον, τῷ Χριστῷ προσφέρουσα, δακρύων ἀλάβαστρον, Εἰρήνη πανεύφημε, τῆς παρ' αὐτοῦ ἐπλήσθης, ἀκηράτου εὐωδίας.

Ἤνυσας ἀσώματον, βίον μετὰ σώματος, νηστείαις καὶ δάκρυσιν, ἐνθέως σχολάζουσα, καὶ ψάλλουσα Κυρίῳ· ὁ Θεὸς εὐλογητὸς εἶ.

Τεῖχος καὶ ἀσφάλεια, γενοῦ τοῖς ἱκέταις σου, τοῖς πόθῳ γεραίρουσιν, Ὁσία τὴν μνήμην σου, καὶ βοῶσι τῷ Δεσπότῃ· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἔβλυσας τοῖς πέρασι, μύρον τὸ οὐράνιον, Χριστὸν σωματώσασα, τὸν μόνον φιλάνθρωπον, Παντευλόγητε Μαρία, τῶν παρθένων εὐκληρία.

www.tezaurliturgic.ro



Καταβασία.

Ἀβραμιαῖοί ποτε, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν, ἐν ὕμνοις κραυγάζοντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ».

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρί, τὸ τῆς Ἀειπαρθένου, τῷ Μωϋσεῖ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας». (Δίς).

Ἐκ γαστρός σου προῆλθε σαρκοφόρος, ὁ τῷ λόγῳ τὸ πρίν, τὰ ὄντα οὐσιώσας, καὶ τοὺς πιστῶς βοῶντάς σοι, ἐθέωσε· χαῖρε Θεοτόκε, ὑπέρλαμπρον δοχεῖον, οὐσίας τῆς ἀστέκτου.

Ῥῶσιν ἄφθονον βλύζουσα σωμάτων, χαῖρε Κόρη Ἁγνή, ψυχῶν ἡ θεραπεία· χαῖρε πταιόντων θεῖον ἱλαστήριον· χαῖρε τεθλιμμένων, παράκλησις γλυκεῖα, καὶ ἀρωγὴ ἡδίστη.

Ἀκατάφλεκτε βάτε δροσοβόλε, ἡ τὸ ἄϋλον πῦρ, κατέχουσα ἐν κόλποις· χαῖρε χρυσοῦν Ἁγνὴ θυμιατήριον· χαῖρε λαβὶς ἔμπνους, ἡ ἐν χερσὶ κρατοῦσα, τὸν ἄνθρακα τῆς δόξης.

Σκηνὴ χαῖρε θεότευκτε τοῦ Λόγου, χαῖρε πλὰξ νοητὴ βουλῆς προαιωνίου· τῆς θείας εὐδοκίας χαῖρε πλήρωμα· ἐκ σοῦ γὰρ ἐγνωρίσθη, ἀνθρώποις ἡ πορεία, Θεοῦ σεσαρκωμένου.

Τῆς Ὁσίας. Ἑπταπλασίως κάμινον.

Εἰς πᾶσαν γῆν καὶ θάλασσαν, ἀληθῶς ἐξελήλυθεν ὥσπερ ἀστραπὴ θεοφεγγὴς ὁ βίος σου, ἐμφαίνων τοῖς θαύμασι, τὰ θεαυγῆ δωρήματα, τῶν θεαρχικῶν, τοῖς ἐκβοῶσιν ἀκτίνων· οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ρώμην ἀκαταμάχητον, ἱερῶς περιφέρουσα, τὰς ἀντικειμένας σατραπείας ὤλεσας· ἐντεῦθεν ἀπήλλαξας, τοῦ ἀκαθάρτου πνεύματος, τὴν ἐκ Καισαρείας, προσελθοῦσάν σοι νέαν, συντόνῳ συνεργίᾳ Βασιλείου τοῦ πάνυ, καὶ τῆς Ἀναστασίας, Εἰρήνη πανολβία.

Ἀθανασίας χάριτι, τῆς ψυχῆς τὸ προκάλυμμα, ἐν μελλούσῃ δόξῃ ἱερῶς λεπτύνασα, κατ' ὄναρ τῷ ἄνακτι, καὶ ὕπαρ παραγέγονας τρόπῳ ἀπορρήτῳ, ἐπιτάττουσα τούτῳ, ταχέως ἀκυρῶσαι, ἣν διέθετο ψῆφον, ὁ δὲ ἐν φόβῳ ὕμνει, τὸν πάντων Βασιλέα.

Θεοτοκίον.

Σάρκα ἐκ σοῦ ἀνέλαβε, λογικήν τε καὶ ἔμψυχον, ὁ δρακὶ συνέχων πᾶσαν κτίσιν Ἄχραντε, διπλοῦς δὲ γεγέννηται, ἐκ τῆς ἁγνῆς νηδύος σου, ἄνθρωπος σαφῶς τὸ ὁρατὸν τοῖς ἀνθρώποις, ἀόρατος Θεὸς δέ, ἐν μιᾷ ὑποστάσει, καὶ ἔσωσε τὸν κόσμον, ἀφάτῳ εὐσπλαγχνίᾳ.

Δεύτερος. Σοὶ τῷ Παντουργῷ.

Ρήμασι στερροῖς, τὸν ἄνακτα κελεύεις, αὐτῷ ὡς ἐφέστηκας, ἀθρόως ἔνδοξε, ταχὺ ἀπολῦσαι, ὃν δέσμιον κατεῖχεν, Εἰρήνη ὑμνοῦντα, τὴν σὴν θαυματουργίαν.

Γνοὺς ὁ Βασιλεύς, τὴν σὴν ἐπιστασίαν, Χριστὸν ἐμεγάλυνε τὸν σὲ δοξάσαντα, ἐν ἀπορρήτῳ Εἰρήνη ἀγλαΐᾳ, πρὸς θάλψιν καὶ σκέπην, τῶν καταπονουμένων.

Ἔλυσας δεσμῶν, πνεύματος ἀκαθάρτου, Εἰρήνη πανεύφημε, τὴν προσελθοῦσάν σοι· ὅθεν Ὁσία, κἀμὲ λῦσον βοῶ σοι, σειρῶν τῶν ἀφύκτων, ἁμαρτιῶν ἀμέτρων.

www.tezaurliturgic.ro



Τύψις ἀληθής, τοῖς ἄρχουσιν ἐδείχθη, ἡ ἔκλαμψις πάνσοφε, ἡ τοῦ προσώπου σου· ὅθεν ἀνύμνουν, μετὰ τοῦ Βασιλέως, τὸν ἐν σοὶ ποιοῦντα, παράδοξα καὶ ξένα.

Θεοτοκίον.

Ἅγιος ναός, καὶ φωτοφόρος ὤφθης, Παρθένε ἀμόλυντε, τοῦ Παντοκράτορος· ὁ γὰρ Δεσπότης, ἐκ σοῦ σαρκὶ ἐτέχθη, καὶ τῆς δεσποτείας, ἐχθροῦ ἡμᾶς λυτροῦται.

Καταβασία.

Οἱ ἐν Βαβυλῶνι Παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλήν, ἀνδρείως κατεπάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον».

ᾨδὴ θ΄. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες». (Δίς)

Ἰσχὺς τῶν ἀσθενούντων, χαῖρε Θεοτόκε· χαῖρε σοφίας ὁ οἶκος ὁ πάγκαλος· χαῖρε ψυχῶν τεθλιμμένων θεία παράκλησις.

Μεγίστων χαρισμάτων, χαῖρε ἡ πλημμύρα· χαῖρε κρουνὲ εὐσπλαγχνίας πολύρρυτε· χαῖρε ἀκένωτον ρεῖθρον τῆς ἀγαθότητος.

Οὐράνωσας τὴν φύσιν, ἡμῶν γεωθεῖσαν, τῇ ἀνεκφράστῳ κυήσει σου Ἄχραντε· ὅθεν τὸ χαῖρε συμφώνως σοι πάντες ᾄδομεν.

www.tezaurliturgic.ro



Ὑψίστου χαῖρε πόλις, ἡ πυργηρουμένη, ἐν πυργοβάρεσι θείαις τοῦ Πνεύματος, τῆς οὐρανίου με πόλεως δεῖξον μέτοχον.

Τῆς Ὁσίας. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰδοῦσα ἐπιστάντας σοι τηλαυγῶς, φωτοφόρους Ἀγγέλους θεόληπτε, πλήρης χαρᾶς, πλήρης εὐφροσύνης πνευματικῆς, χαρμονικῶς ἀνέδραμες, πρὸς τὰς ἀκηράτους διαμονάς, τῆς ἄνω βασιλείας, Εἰρήνη μακαρία, πρὸς ὑπερκόσμιον ἀπόλαυσιν.

Μειδίαμα οὐράνιον καὶ τερπνόν, καὶ φωτὸς θεοσδότου ἀμάρυγμα, ἐκ σῆς μορφῆς, Μῆτερ ἐπαφῆκας πανευκλεῶς, ἡνίκα πρὸς ἀθάνατον, ἔμελλες ἀπαίρειν διαγωγήν· χαρᾶς γὰρ τῆς ἀλήκτου, τὰς θείας ἀντιδόσεις, τοῖς παρεστῶσιν ὑπεδήλωσας.

Ὁλόφωτον παστάδα ἐν οὐρανοῖς, ἐκληρώσω Εἰρήνη πανθαύμαστε, ἔνθα ἀεί, βρύει τῆς εἰρήνης ὁ ποταμός· τὸ εὐαγὲς δὲ σῶμα σου, πλῆρες εὐωδίας μυρεψικῆς, ὡράθη ὑπὲρ λόγον, ἐκπλῆττον τοὺς πρὸς αἶνον, δεδραμηκότας τῶν ἀγώνων σου.

Θεοτοκίον.

Ὑψώσασα τὸ γένος τῶν γηγενῶν, ἐκ βυθοῦ κατωτάτου πανάφθορε, πρὸς ὑψηλήν, τῆς δικαιοσύνης περιωπήν, τὸν Ὕψιστον ὡς τέξασα, ἄνευθεν ὠδίνων τῶν μητρικῶν, ἀνύψωσον τὸν νοῦν μου, πρὸς θείας ἀνυψώσεις, τῶν θεοδρόμων ἀναβάσεων.

Δεύτερος. Ἠσαΐα χόρευε.

Στῖφος τὸ θεόλεκτον, τῶν ὁσίων σου μαθητριῶν, κύκλῳ τῆς σῆς κλίνης περιδεῶς, ὡς ἔβλεψαν ἄπνουν σε, θρήνοις θερμοῖς, ἐβόων σε-

www.tezaurliturgic.ro



μνή· Μὴ λείπῃς τὰ τέκνα σου, κἂν Χριστῷ Μῆτερ πεπόρευσαι.

Ἱλαρὰ γηθόσυνος, τὴν λαμπάδα φέρουσα χερσί, τελέσασα τὸν δρόμον ἀσκητικῶς, μετ' ἤχου αἰνέσεως, πρὸς τὰς ἐπαύλεις τὰς νοητάς, Εἰρήνη ἐχώρησας, θεουμένη κατὰ μέθεξιν.

Μύροις καὶ ἀρώμασιν, εὐσεβούντων ἅπασα πληθύς, σὺν Ἀρχιερεῦσι Συγκλητικοί, καὶ πόλις ἡ ἅπασα, μετὰ σπουδῆς συνῆλθον σεμνή, καὶ πόθῳ ἐκήδευσαν, τὸ μυρίπνοόν σου λείψανον.

Οὐρανόθεν ἔπιδε, θεοφόρε οἷα συμπαθής, ἐπὶ τὴν ταπείνωσιν τὴν ἐμήν, καὶ ῥῦσαί με δέομαι, τῆς δυναστείας τοῦ δυσμενοῦς, εἰρήνην δὲ βράβευε, τοῖς γεραίρουσι τὴν μνήμην σου.

Θεοτοκίον.

Ὑπεράνω πέφυκεν, οὐρανίων Κόρη στρατιῶν, ἡ μεγαλειότης σου ἀληθῶς· Θεὸν γὰρ ἐκύησας, τὸν Ὑπερούσιον ἐπὶ γῆς, ᾧ ἅπασα ὕπαρξις, γόνυ κάμπτει παμμακάριστε.

Καταβασία.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη· Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν».

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς εὐκλεὴς παρθένος μνηστευσαμένη τῷ Χριστῷ, τὰ ἀκροθίνια Μῆτερ, τῶν ἱερῶν σου ἀρετῶν, τούτῳ ὡς ἄμωμον προῖκα, προσήγαγες ὦ Εἰρήνη.

www.tezaurliturgic.ro



Ὅμοιον.

Τῷ ἀρχηγῷ τῆς εἰρήνης, παρισταμένη ἐν χαρᾷ, ἀσκητικῶν σου καμάτων, δρέπῃ σεμνὴ τὰς ἀμοιβάς· διὸ ἡμᾶς τῶν σκανδάλων, ῥῦσαι Εἰρήνη εὐχαῖς σου.

Θεοτοκίον.

Τὸν πρύτανιν τῆς εἰρήνης, εἰρήνην βλύζοντα ἡμῖν, κυήσασα ὑπὲρ λόγον, Παρθενομῆτορ Μαριάμ, εἰρήνευσον τὴν ζωήν μου, ἐκ τῶν σκανδάλων τοῦ βίου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς παρθενίας τὴν χλαῖναν τὴν θεοΰφαντον, τοῖς λογικοῖς ἀγῶσιν, ὡς ἐνθέοις μαργάροις ποικίλασα πανσόφως Εἰρήνη σεμνή, ὡς καλὴ καὶ ὑπέρλαμπρος, τῷ Βασιλεῖ τῶν αἰώνων χαρμονικῶς, ἐνυμφεύθης δι᾽ ἀσκήσεως.

Τὸ πολυτίμητον σκεῦος τῶν ὑπὲρ νοῦν δωρεῶν, ἡ νοητὴ νεφέλη, τῶν ἀΰλων χαρίτων, ἡ πᾶσι ζωηφόρους καταρροάς, δαψιλῶς ὑετίζουσα, ἀνευφημείσθω ἐν ὕμνοις πνευματικοῖς, ἡ Εἰρήνη ἡ πανεύφημος.

Καππαδοκία χορεύει ἐν τοῖς σπαργάνοις σου, καὶ ἡ Χρυσοβαλάντου, περιώνυμος Ποίμνη, σκιρτᾷ ἐν τῇ σῇ δόξῃ καὶ τῇ σοφῇ, ἡγεσίᾳ σου ἔνδοξε, ἡ Ἐκκλησίᾳ δὲ πᾶσα τῶν εὐσεβῶν, μεγαλύνει τοὺς ἀγῶνάς σου.

www.tezaurliturgic.ro



Τῇ ἀπροσίτῳ ἐλλάμψει τοῦ σοῦ νυμφίου Χριστοῦ, καὶ τῷ ἀχράντῳ κάλλει, τῆς αὐτοῦ θεωρίας, ἀεὶ κατατρυφῶσα Εἰρήνη σεμνή, πρὸς εἰρήνης τὴν ἔλλαμψιν, ἐκ σκοτασμοῦ ἁμαρτίας τῆς ἀπεχθοῦς, τοὺς ὑμνοῦντας σε κυβέρνησον.

Δόξα Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων, χορεύσωμεν ἐν πνεύματι, καὶ σκιρτήσωμεν εὐφραινόμενοι, τῇ φωτοφόρῳ πανηγύρει, τῆς θεοφόρου Μητρός. Βασιλεῖς καὶ ἄρχοντες συνελθέτωσαν, καὶ τὴν δι' ἐνθέου κατ' ὄναρ ἐμφανείας, Βασιλέα πείθουσαν, τὸν εἰργμένον ἐν φρουρᾷ δεινῶς, ὡς ἀναίτιον λυτρῶσαι, ἀνυμνείτωσαν. Παρθένοι καὶ Μονάζουσαι, τὴν τῆς ἐγκρατείας ἀκοίμητον λαμπάδα, ἐπαξίως μακαρίσωμεν· τῆς ἁγνείας τὴν καλλονήν, τῆς ἀπαθείας τὴν στήλην, τῆς ἀθανασίας τὸ κρίνον, τῆς ταπεινώσεως τὸν θησαυρόν, τῶν θλιβομένων τὴν παραμυθίαν, τῶν ἀσθενούντων τὴν θεραπείαν, τὴν μάστιγα τῶν σκανδάλων, τὴν πάντας τοὺς ἐν δεινοῖς θερμῶς προφθάνουσαν, θεόφρονα Ὁσίαν ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Εἰρήνη παμμακάριστε, εἰρήνευσον τὰς ψυχὰς ἡμῶν, τῇ ἐνεστώσῃ ἀνάγκῃ, καὶ ῥῦσαι ἡμᾶς, ἐκ πάσης μήνιδος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν κανόνων τῆς Ὁσίας ἡ γ'. καὶ στ'. ᾠδή.

www.tezaurliturgic.ro



Ὠδὴ γ'. Ἦχος πλ. δ'. Τῆς Ὁσίας. Ὁ στερεώσας κατ' ἀρχάς.

Νοΐ σεμνὴ προφητικῷ, τὴν ἐσομένην σοι δόξαν, ὁ κλεινὸς Ἰωαννίκιος βλέπων, προηγόρευσε σαφῶς, τοῦ βίου σου τὴν ἔλλαμψιν, Εἰρήνη μακαρία, Μοναζουσῶν ἀγαλλίαμα.

Ἠκριβωμένως καὶ σοφῶς, τὸ γεγονὸς ἐν σοὶ γνοῦσα, τῶν ἐν κόσμῳ ἀντηλλάξω αὐτίκα, τὴν ἰσάγγελον ζωήν, καὶ Βασιλέα ἄφθαρτον, ἀντὶ τοῦ ἐπιγείου, μόνον νυμφίον ἐπόθησας.

Νεᾶνις Λόγε εὐπρεπής, τῶν ἡδυπνόων σου μύρων, πτερωθεῖσα τῇ ἀΰλῳ εὐπνοίᾳ, ἠκολούθησε Χριστέ, ἀσκητικῶς σοι κράζουσα: Ὀπίσω σου δραμοῦμαι, ὅτι τῷ πόθῳ σου τέτρωμαι.

Θεοτοκίον.

Ὑπερφυέσιν ἀστραπαῖς, τῶν ὑπὲρ νοῦν μεγαλείων, τῆς ἀφάτου εὐκλείας Παρθένε, λαμπομένη θεουργῷ, φέγγει ἀΰλῳ ηὔγασας, Εἰρήνην τὴν Ὁσίαν, ὑμνολογοῦσαν τὴν δόξαν σου.

Ὠδὴ στ'. Ἦχος πλ. α'. Μαινομένη κλύδωνι.

Ἰαμάτων βλύζουσα, ἀκενώτως τὰς ἐπιρροάς, ψυχῶν καὶ σωμάτων ἀπεκάθηρας, πάθη δεινά, Εἰρήνη τῶν προσιόντων σοι.

Ὡς σεμνῇ παρθένῳ σοι, ὁ παρθένος, Μῆτερ Μαθητής, μῆλα ἐξαπέστειλεν οὐράνια, δηλῶν ἡμῖν, τὴν πρὸς Θεόν σου οἰκείωσιν.

Σωφροσύνης ἄγαλμα, ὁμονοίας πρύτανις ἡμῖν, καὶ Χρυσοβαλάντου ἀγαλλίαμα, ὤφθης σαφῶς, Εἰρήνη θεομακάριστε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὁ οὐρανὸς πολύφωτος, ἀνεδείχθης Κόρη τοῖς ἐν γῇ, Ἥλιον τὸν ἄδυτον ἐκλάμψασα τοῖς ἐν νυκτί, τῶν παραπτώσεων Ἄχραντε.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Βασιλείας γηΐνου πάλαι οὐκ ἔτυχες, ἀλλ' ἀφθάρτων στεφάνων νῦν σε ἠξίωσεν, ὁ νυμφίος σου Χριστὸς ὁ ὡραιότατος· ᾧ καθιέρωσας σαὐτήν, ὅλῃ καρδίᾳ καὶ ψυχῇ, Εἰρήνη Ὁσία Μῆτερ Χρυσοβαλάντου ἡ δόξα, ἡμῶν δὲ προσφυγὴ καὶ βοήθεια.

Ἕτερον. Δόξα. Ἦχος γ΄. Θείας πίστεως.

Δόξαν ῥέουσαν, ὑπεριδοῦσα, νύμφη ἄμωμος, ὤφθης τοῦ Λόγου, δι' ἀσκήσεως Ὁσία ἐκλάμψασα· ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ἡμᾶς διαφύλαττε, ἀξιάγαστε, Χριστῷ τ ῷ Θεῷ πρεσβεύουσα, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τὴν τοῦ κόσμου εὔκλειαν, καταλιποῦσα Ὁσία, τῷ Χριστῷ νενύμφευσαι, τῷ Βασιλεῖ τῷ ἀφθάρτῳ, κάλλεσι, τῆς παρθενίας λελαμπρυσμένη, σκάμμασι, τῆς ἐγκρατείας πεποικιλμένη· διὰ τοῦτό σε Εἰρήνη, ὁ σὸς νυμφίος λαμπρῶς ἐδόξασε.

## ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός.

www.tezaurliturgic.ro



Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. γ'. 23—δ'. 1.)

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον, ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ κληρονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Ἀλληλούϊα, Ἦχος α'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Κεφ. κε'. 1—13.)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν φρόνιμοι, καὶ πέντε μωραί· αἵτινες μωραί, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον·Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρ-

www.tezaurliturgic.ro



θένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

## Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

## Μεγαλυνάρια

Τῆς Καππαδοκίας τὴν καλλονήν, καὶ Χρυσοβαλάντου, ὁδηγίαν τὴν ἀσφαλῆ, τὴν στηλογραφίαν, εἰρήνης οὐρανίου, Εἰρήνην τὴν Ὁσίαν, ὕμνοις τιμήσωμεν.

Ρύου πολυτρόπων ἐκ συμφορῶν, καὶ ἀρρωστημάτων, καὶ κινδύνων ψυχοβλαβῶν, τοὺς ἐν εὐλαβείᾳ θερμῶς ἐξαιτουμένους, Εἰρήνη θεοφόρε, τὴν προστασίαν σου.

## Δίστιχον

Τῷ Εἰρηνάρχῃ οἰκείωσόν με Μῆτερ
Τὸν σοί πλέξαντα Γεράσιμον τὸν ὕμνον.

www.tezaurliturgic.ro




## Η ΟΣΙΑ ΕΙΡΗΝΗ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ ΠΡΟΣΕΥΧΟΜΕΝΗ

Κατεπλάγη εὐπρεπῶς, Μοναζουσῶν θεῖος χορός, ὅτε εἶδε σε φρικτῶς, μέσον Ὁσία τῆς νυκτός, προσευχομένην τῷ ἀνεσπέρῳ Ἡλίῳ· ὅλη γὰρ λαμπρά, ὅλη μετέωρος, ὕπερθεν τῆς γῆς, ἑστῶσα ἔφανες, τὸ τῆς μελλούσης δόξης προοίμιον, ὡς ἐν ἐσόπτρῳ τῷ σώματι· ὢ θείας δόξης! ἧς ἠξιώθης, ΕΙΡΗΝΗ ΘΕΟΜΑΚΑΡΙΣΤΕ.

('Από τὴν Ἰ. Ἀκολουθίαν τῆς Ὁσίας.)

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΕΙΡΗΝΗΝ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ ΤΗΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ποιηθεὶς ὑπὸ ΓΕΡΑΣΙΜΟΥ Μοναχοῦ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Ὁ Ἱερεύς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων

Ὁ Ἀναγνώστης, Ἀμήν.

Ψαλμὸς ΡΜΒ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

www.tezaurliturgic.ro



Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι·

Καὶ εὐθὺς ψάλλομεν· Ἦχος δ΄.

**Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ.

**Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.....**

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

**Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.....**

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔσται θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

**Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.....**

Εἶτα τὰ παρόντα Τροπάρια

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῇ φερωνύμῳ διαλάμπουσα κλήσει τὰ τῆς εἰρήνης ἀγαθὰ πλουτοδότως, Εἰρήνη παμμακάριστε δίδου ἡμῖν ἀεί· κόπασον τὸν τάραχον, τῶν δεινῶν νοσημάτων, σκέδασον τὰ σκάνδαλα, τοῦ δολίου Βελίαρ, καὶ εἰρηναίαν δώρησαι ζωήν, τοῖς προσιοῦσιν, Ὁσία τῇ σκέπῃ σου.

Δόξα Πατρί......

Ὡς ἀναβλύζουσα θαυμάτων τὴν χάριν, τοὺς καταφεύγοντας τῇ σῇ προστασίᾳ, πολυειδῶν ἀρρωστημάτων λύτρωσαι, καὶ πάσης ἀπ-

www.tezaurliturgic.ro



άλλαξον, συμφορᾶς καὶ ἀνάγκης, καὶ ὑγείαν δώρησαι, καὶ εἰρήνην, Ὁσία, τῇ πρὸς Χριστὸν θερμῇ σου προσευχῇ, Μῆτερ Εἰρήνη, τοῖς Σὲ μακαρίζουσι.

Καὶ νῦν, καὶ ἀεί......

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ἀναγνώστης (χῦμα)

Ψαλμὸς Ν΄. (50).

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

www.tezaurliturgic.ro



Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ψάλλομεν τὸν Κανόνα

Οὗ ἡ ἀκροστιχίς.

«Εἰρήνης ἀξίωσον ἡμᾶς, Εἰρήνη. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Εἰρήνης τὸν ἄρχοντα ἐκτενῶς, Εἰρήνη δυσώπει, εἰρηναίαν καὶ εὐσταθῆ, ἡμᾶς διανύειν πολιτείαν, καὶ τοῦ ἐχθροῦ ἀποφεύγειν τὰ σκάνδαλα.

Ἰλύος ρυσθεῖσα τῆς κοσμικῆς, σκανδάλων τοῦ βίου, καὶ ἁπάσης ἐπιβουλῆς, καὶ γλώσσης δολίας καὶ δυσφήμου, τοὺς προσιόντας σοι Μῆτερ ἀπάλλαξον.

Πευμάτων ἀΰλων τὸν γλυκασμόν, ψυχαῖς φαρμαχθείσαις, τῇ κακίᾳ τοῦ δυσμενοῦς, ἐπίσταξον Μῆτερ οὐρανόθεν, καὶ τὸν ἰὸν τῶν παθῶν ἀποξήρανον.

Θεοτοκίον.

Ἡ ἄρρητος φύσις καὶ παντουργός, ὢ θαύματος ξένου! Συνεσχέθη ἐν σῇ γαστρί, σαρκὶ ἑνωθεῖσα ἀσυγχύτως εἰς σωτηρίαν ἡμῶν Παναμώμητε.

www.tezaurliturgic.ro



Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Νυμφευθεῖσα τῷ Λόγῳ, ἀσκητικῶς πάνσεμνε, τὰ τῆς ἀλογίας μου νέφη, μακρὰν ἀπέλασον, ἐξ ὧν τῆς μήνιδος, ἡ δυσωδία πηγάζει, τὴν τοῦ θείου Πνεύματος, σχέσιν μακρύνουσα.

Ἡ ἐκ ρίζης εὐώδους, θεοπρεπῶς λάμψασα, τὰς τῆς ἀνομίας ἀκάνθας πρόρριζον ἔκτιλον, ἐκ τῆς καρδίας μου, τῶν πρεσβειῶν σου σκαπάνῃ, καὶ φόβον τὸν ἔνθεον, ταύτῃ ἐμφύτευσον.

Σαρκικῶν ἀλγηδόνων, καὶ ψυχικῆς θλίψεως, πονηρευομένων ἀνθρώπων πάσης φαυλότητος, καὶ συστροφῆς χαλεπῶν, ἀπαρατρώτους ἀπαύστως, Εἰρήνη διάσωζε, τοὺς εὐφημοῦντάς σε.

Θεοτοκίον.

Ἀπορρήτως ἐν μήτρᾳ, τὸν τοῦ Πατρὸς σύνθρονον, Λόγον σαρκωθέντα ἀσπόρως, Ἁγνὴ χωρήσασα, παθῶν στενώσεως, πρὸς πλατυσμὸν ἀπαθείας, τὸν νοῦν μου κυβέρνησον, Θεοχαρίτωτε.

Διάσωσον ἐκ δυσμενείας καὶ ἔχθρας θανατηφόρου, τοὺς πρὸς σὲ μετὰ σπουδῆς καταφεύγοντας, καὶ αἰτουμένους, Εἰρήνη, τὴν σὴν πρεσβείαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· Κύριε ἐλέησον (γ΄.).

www.tezaurliturgic.ro



Ὁ Ἱερεύς.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου (ἢ Ἐπισκόπου) ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ χώρᾳ ἢ νήσῳ) ταύτῃ, τῶν προσκυνητῶν συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς Ἱερᾶς Μονῆς ταύτης.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ (καὶ μνημονεύονται τὰ ὀνόματα ἐκείνων, δι' οὓς ἡ Παράκλησις τελεῖται).

Καὶ ἡμεῖς ψάλλομεν τὸ Κύριε ἐλέησον ιβ'.

Ὁ Ἱερεύς.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Ἡ σὴ ἀρωγή, ὡς μάχαιρα ἀμφίστομος, Εἰρήνη σεμνή, γενέσθω τοῖς ἱκέταις σου, τὰς συμπλοκὰς συγκόπτουσα, δυσμενείας ἁπάσης καὶ μήνιδος, σὺ γὰρ εἰρήνην νέμουσα ἡμῖν, τῷ σάλῳ ἐπιτιμᾷς τῶν θλίψεων.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ξενοτρόπως ἀσκήσασα, ξένωσον τὸν νοῦν μου ἐκ πάσης μήνιδος, πονηρίας καὶ συγχύσεως, καὶ μνησικακίας, Εἰρήνη ἔνδοξε.

Ῥαμάτων ἐπόμβρισον, Μῆτερ τὰς σταγόνας καὶ καταδρόσισον, τοὺς φλογμῷ νόσων καὶ θλίψεων, κατατηκομένους, ἐχθροῦ τοῖς ἄνθραξιν.

www.tezaurliturgic.ro


Ὡραιώθης ποθήσασα, τὸν ὡραῖον Λόγον, ὃν καθικέτευε, ὡραιῶσαι τὴν καρδίαν μου, καὶ τὰ τῆς σαρκός μου παῦσαι σκιρτήματα.

Θεοτοκίον.

Σωτηρίας λιμένα σε, Κόρη ἐπιστάμενος σοὶ ἀνέθηκα, τὰς ἀγκύρας τῆς ἐλπίδος μου, μὴ οὖν ὑπερίδῃς τὸν προσφυγόντα σοι.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅλη καθαρά, ὡς παρθένος πανακήρατος, τῷ Νυμφίῳ ἠγγυήθης τῶν ψυχῶν, ὦ ἐγγύας μετανοίας μοι προσάγαγε.

Νέκρωσον ζωῆς, ἐξανθήσασα θανάτωσον, τὴν ἔτι ζῶσαν ἁμαρτίαν ἐν ἐμοί, καὶ πρὸς κτῆσιν ἀπαθείας με διέγειρον.

Ἤστραψας ἐν γῇ, ὡς λαμπὰς τοῦ Θείου Πνεύματος, διαλύουσα τοῦ μίσους τὴν ἀχλύν, καὶ ἀγάπης ἀνατέλλουσα τὴν ἔλλαμψιν.

Θεοτοκίον.

Μήτηρ τῆς ζωῆς, ἀνεδείχθης Παναμώμητε· διὸ νέκρωσον παθῶν μου τὰς ὁρμάς, καὶ τὸν νοῦν μου πρὸς ἐγρήγορσιν ἀνάστησον.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ἀνάτειλον, ὁμονοίας ἡμέραν, καὶ εἰρήνης ἀληθοῦς τὰς ἀκτῖνας, τοῖς τοῦ θυμοῦ καὶ ὀργῆς ἐν τῷ σκότει, κατακειμένοις ἀπάτῃ τοῦ ὄφεως· σοὶ γὰρ ἐδόθη πρὸς Θεοῦ, εἰρηνεύειν ἡμῶν τὴν διάστασιν.

Στομώσασα, τῷ τοῦ Λόγου ἔρωτι, τῆς ψυχῆς σου τὰς κινήσεις Ὁσία, ξίφος ἐγένου ἐχθροὺς κατακόπτον, καὶ διχονοίας λικμίζον τὸ ἄχυ-

www.tezaurliturgic.ro


ρον, διὸ τῆς ἔχθρας ἐν ἐμοὶ τὴν σφριγῶσαν κακίαν κατάβαλε.

Ἐπίβλεψον, ἱλαρῷ σου ὄμματι, ἐφ᾽ ἡμᾶς τοὺς σοὺς ἱκέτας Ὁσία, καὶ τὰς ὀδύνας ἡμῶν καὶ τὰς θλίψεις, ἐπικουφίζουσα τάχος ἀφάνισον, ἐν ὁμονοίᾳ τὴν ζωήν, συντηροῦσα ἡμῶν ἀστασίαστον.

Θεοτοκίον.

Ἰσχύος, ἐνυποστάτου σκήνωμα, ἐκ Πατρὸς προερχομένης ἀνάρχως, ἀναδειχθεῖσα Θεόνυμφε Κόρη, τὴν ἀσθενοῦσαν καρδίαν μου νεύρωσον, πρὸς ἐργασίαν ἀρετῶν, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Λιάσωσον ἐκ δυσμενείας καὶ ἔχθρας θανατηφόρου, τοὺς πρὸς σὲ μετὰ σπουδῆς καταφεύγοντας, καὶ αἰτουμένους Εἰρήνη, τὴν σὴν πρεσβείαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα Μητρικὴν παρρησίαν.

Αἴτησις ὑπὸ τοῦ Ἱερέως καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Παρρησίαν κεκτημένη πρὸς τὸν Νυμφίον σου, ὡς παρθένος Ὁσία φρονίμη καὶ ἔνθεος, μὴ ἐλλείπῃς ὑπὲρ ἡμῶν πρεσβεύειν ἐκτενῶς, ἵνα ῥυσθῶμεν πάσης ὀργῆς, καὶ πολυτρόπων πειρασμῶν, οἱ πιστῶς ἐκβοῶντές σοι· Πρόφθασον ὦ Εἰρήνη, καὶ δώρησαι τοῖς σοῖς δούλοις, συμβίωσιν εἰρηνικήν, καὶ ἀγάπην ἀστασίαστον.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τὴν φωνὴν τῆς δεήσεώς μου. (Δίς).

www.tezaurliturgic.ro



Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

## Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Μάρκον. (Κεφ. η΄. 34 - 38)

Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, μετὰ τῶν Ἀγγέλων, τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν Βασιλείαν τοῦ Θεοῦ, ἐληλυθυῖαν ἐν δυνάμει.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας ......

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου .....

## Προσόμιον

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅρμημα ἀκάθεκτον, καὶ τὰς κρυφίους ἐνέδρας, τοῦ δολίου δράκοντος, καθ' ἡμῶν ματαίωσον Εἰρηνώνυμε, καὶ δεινῶν θλίψεων, τὰς ἐπαναστάσεις, καταπράϋνον καὶ κόπασον, ἅπαν σκευώρημα, καὶ διχοστασίας τὰ σκάνδαλα, εἰρήνην ἀστασίαστον, ταῖς εἰρηνοδώροις πρεσβείαις σου, πᾶσι χορηγοῦσα, Εἰρήνη τῶν Ὁσίων καλλονή, ὡς ἂν ἡσύχως βιώσαντες, δόξης ἐπιτύχωμεν.

Εἶτα ὁ Ἱερεὺς λέγει τὴν εὐχήν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεο-

www.tezaurliturgic.ro



τόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· Μεθοδίου, Νικολάου τοῦ Μυστικοῦ, Ἰγνατίου καὶ Φωτίου Πατριαρχῶν Κων)πόλεως, τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· Ἀντωνίου, Παϊσίου, Εὐθυμίου, Σάββα τοῦ Ἡγιασμένου, Ονουφρίου, Ἀρσενίου τοῦ Μεγάλου, Ἰωαννικίου τοῦ προφητικωτάτου, τῶν Ὁσίων καὶ Θεοφόρων Μητέρων τῶν ἐν ἀσκήσει καὶ ἀθλήσει διαλαμψασῶν Εὐπραξίας, Μακρίνης, Εὐανθίας, Συγκλητικῆς, Ματρώνης, τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς ἡμῶν Εἰρήνης Ἡγουμένης Μονῆς τοῦ Χρυσοβαλάντου τῆς θαυματουργοῦ καὶ ἰαματικῆς, τῶν ἁγίων καὶ Δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας) καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός. Κύριε ἐλέησον (12άκις)

Ὁ Ἱερεύς.

Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός. Ἀμήν.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥάβδῳ τῶν πρεσβειῶν σου, τοὺς κυκλώσαντας κύνας, τὴν τάλαιναν μου ψυχήν, ἐκδίωξον Ὁσία, καὶ τῇ ἀντιτυπίᾳ τῆς θερμῆς προστασίας, σου, ἱκάνωσόν μου τὸν νοῦν κατὰ τοῦ ἀντιπάλου.

Ἠλλοιώθην τὸ πνεῦμα, ἐνεκρώθην τὸ σῶμα ταῖς πρὸς τὸ χεῖρον ῥοπαῖς ἀλλ' ἄνωθεν μοι πρόσχες, καὶ ἴδε μου τὴν θλῖψιν, καὶ τῶν πό-

www.tezaurliturgic.ro



νων τὰ δάκρυα, καὶ ὄρεξόν μοι σεμνή, σωτηριώδη χεῖρα.

Νοσημάτων παντοίων, παθημάτων ποικίλων καὶ πειρασμῶν χαλεπῶν, δαιμόνων ἐπηρείας, ἀνθρώπων πονηρίας, κακοτρόπων ἀπάλλαξον, τοὺς προσιόντας θερμῶς, Εἰρήνη τῇ σῇ σκέπῃ.

Θεοτοκίον.

Ἡ Πανάμωμος Κόρη, ἡ τεκοῦσα τὸν Κτίστην καὶ Ποιητὴν τοῦ παντός, ἐκ μώμου ἐγκλημάτων, καὶ σπίλων ἁμαρτάδων, τὴν ψυχήν μου καθάρισον, ἵνα ὑμνῶ σε ἀεί, τὴν Κεχαριτωμένην.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Γαλήνην Μῆτερ, τοῖς ἐν θαλάσσῃ τοῦ βίου κινδυνεύουσιν ἐξαίτει οὐρανόθεν, τούτους κυβερνῶσα, πρὸς ὅρμον σωτηρίας.

Ἐκ τῶν σκανδάλων, καὶ συστροφῶν ὀλεθρίων, περιφρούρησον ἡμῶν τὴν πολιτείαν, ταῖς τῆς ὁμονοίας, βάρεσι μακαρία.

Ρερυπωμένον, τῇ κοινωνίᾳ τοῦ μύσους, ἀποκάθαρον τὸν νοῦν μου πανολβία, τῆς φιλαδελφείας, καθαρτικῇ ἀρδείᾳ.

Θεοτοκίον.

Ἁγιωσύνης, περιφανέστατε οἶκε, καθαγίασον ἡμῶν τὰς διανοίας, τῇ σῇ προμηθείᾳ, Παρθένε Παναγία.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Συνδέσμῳ τῆς ἀγάπης, σύνδεσον Ὁσία, τοὺς ἐκλυθέντας ἀπάτῃ τῆς μήνιδος, τὴν ἀπ᾽ ἀλλήλων διάστασιν διατέμνουσα.

www.tezaurliturgic.ro



Ἰάσεων χειμάρρουν, βλύζουσα Ὁσία, ψυχῶν ὁμοῦ καὶ σωμάτων τὰ τραύματα, ἀποκαθαίρεις δυνάμει τοῦ Θείου Πνεύματος.

Μανίας τοῦ δολίου, ἀτρώτους διατήρει, τοὺς προσιόντας Εἰρήνη τῇ σκέπῃ σου, πρὸς τὴν ὁδὸν τῆς εἰρήνης ἡμᾶς εὐθύνουσα.

Θεοτοκίον.

Ὑπάρχουσα λυχνία, φωτοειδεστάτη τοῦ Πατρικοῦ ἀπαυγάσματος Δέσποινα, τὸ νοερὸν τῆς ψυχῆς μου ὄμμα καταύγασον.

Καὶ εὐθὺς

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ Μεγαλυνάρια

Τῶν παρθένων στίφη καὶ Μοναστῶν, ἄσμασιν ἐνθέοις, εὐφημήσωμεν εὐλαβῶς, τῆς Χρυσοβαλάντου Μονῆς τὴν Ἡγουμένην, Εἰρήνην τῶν θαυμάτων, πηγὴν ἀκένωτον.

Τῆς Καππαδοκίας ἄνθος τερπνόν, καὶ Χρυσοβαλάντου, πολιοῦχος καὶ ὁδηγός, τῇ σῇ πολιτείᾳ, ἐδείχθης τρισολβία, Εἰρήνη, Ἐκκλησίας λαμπὰς θεόφωτος.

Τὸ τοῦ σωματός σου κάλλος σεμνή, τῆς ψυχῆς ἐδήλου, τὸ ὡραῖον καὶ εὐανθοῦν· ὅθεν τῶν ἠθῶν σου, ὁ Κύριος ἠράσθη, καὶ ἄφθορόν σε νύμφην αὐτῷ ἠγάγετο.

www.tezaurliturgic.ro



Λάμπουσαν ἁγνείας σε τῷ φωτί, κατιδὼν Ὁσία, ὡς λυχνίαν φωτοειδῆ, τὴν σὴν προθεσπίζει, οἰκείωσιν τῷ Λόγῳ, Προφητικῶς ὁ Μέγας Ἰωαννίκιος.

Χαίροις τῶν παρθένων ἡ καλλονή, καὶ Χρυσοβαλάντου, νυμφοστόλος θεοειδής, τῶν Μοναζουσῶν τε, κανὼν ἐν ἐγκρατείᾳ, Εἰρήνη μακαρία, Ἀγγέλων σύσκηνε.

Χαίροις τῆς εἰρήνης μυσταγωγός, καὶ μνησικακίας ἀναιρέτις ἡ κραταιά, σὺ γὰρ τῶν σκανδάλων, ἐκτρέπεις τὴν μανίαν, ἡμᾶς ἐν ὁμονοίᾳ, στερρῶς συνέχουσα.

ῆς Καππαδοκίας τὴν καλλονήν, καὶ Χρυσοβαλάντου, ὁδηγίαν τὴν ὀσφαλῆ, τὴν στηλογραφίαν, εἰρήνης οὐρανίου, Εἰρήνην τὴν Ὁσίαν, ὕμνοις τιμήσωμεν.

Ρύου πολυτρόπων ἐκ συμφορῶν, καὶ ἀρρωστημάτων, καὶ κινδύνων ψυχοβλαβῶν, τοὺς ἐν εὐλαβείᾳ, θερμῶς ἐξαιτουμένους, Εἰρήνη θεοφόρε, τὴν προστασίαν σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ Δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα ὁ Ἀναγνώστης.

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

www.tezaurliturgic.ro



Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες· ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα Πατρί......

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς, ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα τῶν χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, καὶ ἀεί......

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, Εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· Ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός......
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν......
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου......
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.....

(Καὶ μνημονεύει πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν Ἁγίαν Μονὴν ταύτην καὶ τὴν πόλιν ταύτην καὶ πᾶσαν, πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς, ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμέ-

www.tezaurliturgic.ro



νην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σὺ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὁ Ἱερεὺς ποιεῖ μικρὰν Ἀπόλυσιν.

Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου Ἁγίας Αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῆς Ὁσίας Μητρὸς ἡμῶν Εἰρήνης τοῦ Χρυσοβαλάντου τῆς Θαυματουργοῦ, τῶν ἁγίων καὶ Δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης τοῦ (ἁγίου τῆς ἡμέρας, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν) καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μεθ' ἣν τὰ ἑξῆς.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντων προστασία εὐμενής, καὶ καταφυγὴ ἐν ἀνάγκαις, Ὁσία πέλουσα, πάντας ἀπολύτρωσαι, πάσης κακώσεως, πειρασμῶν τε καὶ θλίψεων, καὶ ἀσθενημάτων, πρὸς εἰρήνην ἔνθεον, ἡμᾶς ἰθύνουσα, ὅπως ἐν συμπνοίᾳ συζῶντες, φθάσωμεν Εἰρήνη εἰς μέτρον, τῆς πεποθημένης καταπαύσεως.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος Οἰκτίρμων.

Ὁ Ἱερεύς.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro

# ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ

## Ἤτοι, οἱ εἰκοσιτέσσαρες Οἶκοι εἰς τὴν Ὁσίαν Μητέρα ἡμῶν Εἰρήνην Χρυσοβαλάντου

Ποίημα

Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς τῶν Ὁσίων καὶ παρθένων ἀκροθίνιον καὶ τῶν θαυμάτων κρήνην ὄντως πολυχεύμονα ἀνυμνοῦμέν σε Εἰρήνη Ὁσία Μῆτερ, ἀλλ' ὡς τρόφιμος εἰρήνης τῆς τοῦ Πνεύματος τῷ συνδέσμῳ τῆς εἰρήνης διατήρησον τοὺς βοῶντάς σοι, χαίροις Μῆτερ ἰσάγγελε.

Ἄγγελος οὐρανόθεν, καταπτάς σοι Εἰρήνη, μυεῖταί σε ἀδήλων τὴν γνῶσιν, (ἐκ γ') καὶ σὺν τῇ ἐκφάνσει τῶν κρυπτῶν, τὴν κεκρυμμένην ἐμφαίνει σου ἔλλαμψιν, δι' ἧς λαμπρύνεις ἅπαντας, τοὺς ἐκβοῶντάς σοι Ὁσία·

Χαῖρε δι' ἧς ὁ Χριστὸς ὑψώθη
χαῖρε δι' ἧς ὁ ἐχθρὸς ἐτρώθη
χαῖρε τῆς ἁγνείας εἰκὼν ἡ θεόγραφος
χαῖρε τῆς ἀνδρείας ἡ κέδρος ἡ ἄσειστος
χαῖρε ὕψος τὸ περίβλεπτον οὐρανίων ἀρετῶν
χαῖρε βάθος τὸ περίκλυτον ψυχοτρόφων δωρεῶν
χαῖρε ὅτι ἐφάνης τῶν Ὁσίων ἀκρότης
χαῖρε ὅτι τυγχάνεις τῶν παρθένων σεμνότης
χαῖρε ἠθῶν ὁσίων τὸ ἔλυτρον

www.tezaurliturgic.ro



χαῖρε παθῶν ἐκλύτων τὸ θέριστρον
χαῖρε δι' ἧς ἡ ἀγάπη ἐκλάμπει
χαῖρε δι' ἧς ἡ ἀπάτη στενάζει

Χαίροις Μῆτερ ἰσάγγελε.

Βλάστημα θυμηδίας, πέλουσα πανολβία, ἀρίστη τῶν καλῶν γεωργία, νεᾶνις ἐδείχθης ἐκλεκτή, καλῇ τῇ ὄψει καὶ τῇ ψυχῇ πάγκαλος· τῷ φόβῳ γὰρ τοῦ κρείττονος, σαυτὴν ρυθμίζουσα ἐβόας·

Ἀλληλούϊα.

Γνοὺς ἐν Πνεύματι θείῳ, τὸν σὸν μέλλοντα βίον, ὁ Ἰωαννίκιος ὁ πάνυ, ἄπιθι τέκνον προφητικῶς, ἡ Χρυσοβαλάντου γὰρ Μονὴ μένει σε· οὕτως Εἰρήνη ἔφη σοι, πρὸς ἣν ἡμεῖς βοῶμεν ταῦτα.

χαῖρε τὸ ρόδον τῆς θυμηδίας
χαῖρε τὸ κρίνον τῆς παρθενίας
χαῖρε καλλονῆς οὐρανίου ἐκτύπωμα
χαῖρε μετοχῆς ἐπιγείου τὸ ἥττημα
χαῖρε ἄσυλον ἀνάθημα τοῦ Νυμφίου τῶν ψυχῶν
χαῖρε ἄχραντον διάδημα νεανίδων εὐκλεῶν
χαῖρε ὅτι τῷ Λόγῳ ἐνυμφεύθης ἀφθόρως
χαῖρε ὅτι τοῦ κόσμου ἀπανέστης ἐμφρόνως
χαῖρε τερπνὸν Ἀγγέλων ὀσφράδιον
χαῖρε σεμνῶν παρθένων κιννάμωμον
χαῖρε φαιδρὰ ψυχικὴ ὡραιότης
χαῖρε λαμπρὰ ἀρετῶν κοσμιότης

Χαίροις Μῆτερ ἰσάγγελε.

Δόξαν περιφανείας, ὥραν τῆς ἡλικίας, καὶ γένους περιβλέπτου ἀξίας, ὡς σκύβαλα ἡγήσω σαφῶς, ἵνα Χριστὸν κερδίσῃς ὃν ἠγάπησας· τὸ πῦρ γὰρ τὸ οὐράνιον, ἠρέθιζέ σε πόθῳ ψάλλειν·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Ἔδραμες ὡς διψῶσα ἔλαφος μακαρία, Μονῇ Χρυσοβαλάντου τῇ θείᾳ, ἔνθα ἐξ αἰωνίων πηγῶν, τὸ ἀλλόμενον ὕδωρ πιστῶς ἤντλησας· δι᾽ οὗ ἀρδεύεις ἅπαντας τοὺς ἐκβοῶντάς σοι τοιαῦτα

Χαῖρε τὸ σέλας τῆς ἐγκρατείας
χαῖρε τὸ σκεῦος τῆς ἀπαθείας
χαῖρε τῆς ἀΰλου ζωῆς ὑποτύπωσις
χαῖρε τῆς ἀρρήτου εὐκλείας ἐπίλαμψις
χαῖρε ἄμπελε κυπρίζουσα ἀφθαρσίας ἀπαρχὴν
χαῖρε ἄρουρα ἐνέγκασα παγκαρπίαν νοητὴν
χαῖρε ὅτι βλυστάνεις τὸ ζωήρρυτον νᾶμα
χαῖρε ὅτι βραβεύεις τὸ θεόσδοτον μάννα
χαῖρε πηγὴ χαρίτων ἀκένωτε
χαῖρε κρουνὲ θαυμάτων θεόβρυτε
χαῖρε φιάλη σεπτῶν ἀρωμάτων
χαῖρε χειμάρρους πολλῶν ἰαμάτων

Χαίροις Μῆτερ ἰσάγγελε.

Ζῶσα στηλογραφία, καὶ παραίνεσις θεία, σιγῶσα καὶ λαλοῦσα Ὁσία, ἐδείχθης δι᾽ ἔργων ὑψηλῶν, τῷ τῶν Μοναστριῶν Μῆτερ συστήματι, ταύτας γὰρ ἐξεπαίδευσας, σὺν σοὶ ἀνακράζειν συντόνως·

Ἀλληλούϊα.

Ἤσχυνας τοῦ Βελίαρ, τὴν ζοφώδη μανίαν, τῇ σῇ θεοφεγγεῖ συντονίᾳ· Χριστὸν γὰρ πλουτοῦσα ἀρωγόν, τὰς τούτου μεθόδους εὐτόνως ἔλυες· διὸ ὡς νικητρίᾳ σοι, ἐκβοῶμεν τὸ χαῖρε οὕτω

Χαῖρε ἡ πτῶσις ἐχθρῶν ἀσάρκων
χαῖρε ἡ στήλη πολλῶν ἐπάθλων
χαῖρε τοῦ Βελίαρ τὸ θράσος ὀλέσασα
χαῖρε τοῦ Σωτῆρος τὴν χάριν δοξάσασα
χαῖρε τῆς θηλείας φύσεως τρόπαιον πανευπρεπὲς
χαῖρε τῆς ἀτρέπτου στάσεως ἴνδαλμα πανευκλεὲς
χαῖρε ὅτι ἐκφαίνεις θείου φίλτρου τὸ σθένος

www.tezaurliturgic.ro



χαῖρε ὅτι ἐκτρέπεις τοῦ ἐχθίστου τὸ ἕρκος
χαῖρε σεμνῶν Μοναστριῶν τὸ ἔρεισμα
χαῖρε σεπτῶν Ἀσκητριῶν τὸ ἔναυσμα
χαῖρε αὐγὴ οὐρανίου εἰρήνης
χαῖρε πλειὰς ἀπορρήτου γαλήνης

Χαίροις Μῆτερ ἰσάγγελε.

Θεϊκῇ προμηθείᾳ, τῆς Μονῆς σου Ὁσία, ἀναλαβοῦσα τὴν ἡγεσίαν, ταύτην διώκησας ἀληθῶς, ἐν νουθεσίᾳ καὶ παιδείᾳ κρείττονι· λόγῳ γὰρ καὶ ἀναστροφῇ, ἐβεβαίους τὰς προσᾳδούσας·

Ἀλληλούϊα.

Ἴθυνας τρισολβία, εἰς γῆν ἐπαγγελίας, τὴν σὴν ἀπόλεκτον κληρουχίαν· ἐν ᾗ αἱ ἀμνάδες σου σεμνή, τῆς ὑπὲρ νοῦν εἰρήνης ἠξιώθησαν, τῷ Λόγῳ προσαγόμεναι, βοῶσαί σοι τῇ Μητρὶ οὕτω·

Χαῖρε ἡ στάθμη τῆς ποιμανσίας
χαῖρε ἡ γλῶσσα τῆς νουθεσίας
χαῖρε κυβερνῆτις παρθένων θεόληπτος
χαῖρε συμπολῖτις ἀγγέλων ἰσάγγελος
χαῖρε στόμα τὸ γλυκύτατον διδαγμάτων πρακτικῶν
χαῖρε ὄμμα τὸ γαλήνιον τεθλιμμένων καρδιῶν
χαῖρε παιδαγωγία ἱερῶς ἀσκουμένων
χαῖρε φωταγωγία τῶν ἐν σκότει κειμένων
χαῖρε σεμνῶν ψυχῶν χειραγώγησις
χαῖρε πολλῶν λυγρῶν ἐπανόρθωσις
χαῖρε ἐχθροῦ ἰσχυρὰ καθαιρέτις
χαῖρε παθῶν ὀχληρῶν ἀναιρέτις

Χαίροις Μῆτερ ἰσάγγελε.

Κατιδοῦσα Ὁσία, ὡς ἀκτῖνα ἁγίαν, θείου Ἀγγέλου τὴν παρουσίαν, ὕμνεις τὸν τοῦ φωτὸς χορηγόν, τὸν τὴν γνῶσιν τῶν κρυφίων σοι νεί-

www.tezaurliturgic.ro


μαντα, ἀγγελικῇ ὁδηγίᾳ, εἰς θεραπείαν τῶν βοώντων

'Αλληλούϊα.

Λάμπουσα θεαυγείᾳ, πρακτικῆς θεωρίας, τῇ παννυχίῳ ἱκετηρίᾳ οἷά περ λαμπάδας φαεινάς, τὰς σὰς χεῖρας ὡς ὁ Μέγας 'Αρσένιος, ἤρου θερμῶς τῷ Κτίστῃ σου ᾧ προσάγεις τοὺς σοὶ βοῶντας·

Χαῖρε ἀκτὶς οὐρανίου φέγγους
χαῖρε πυξὶς ἀκηράτου κάλλους
χαῖρε λαμπηδὼν θεωρίας καὶ πράξεως
χαῖρε ἀηδὼν ἐπιπνοίας τῆς χάριτος
χαῖρε χαρακτὴρ καί μίμησις Μωϋσέως τοῦ κλεινοῦ
χαῖρε τύπος ἀπαράμιλλος 'Αρσενίου τοῦ σοφοῦ
χαῖρε ὅτι ἐκφαίνεις τὰ κρυπτὰ τῆς καρδίας
χαῖρε ὅτι παρέχεις τὰς διττὰς ἰατρείας
χαῖρε ἁγνὴ τρυγὼν καὶ ἀμίαντος
χαῖρε ἀμνὰς Χριστοῦ θεοσήμαντος
χαῖρε τερπνὴ ἀνθηδὼν ἐμμελείας
χαῖρε κλυτὴ χελιδὼν συντονίας

Χαίροις Μῆτερ ἰσάγγελε.

Μένεα κατὰ σοῦ πνέων, τῆς κακίας ὁ ἄρχων, ἐπειρᾶτό σοι θίγειν ὁ ἄφρων ἀλλ' ὤφλησε γέλωτα οἰκτρῶς, στερροτέραν εὑρηκώς σε ἀδάμαντος· Χριστῷ γὰρ ἀτενίζουσα, οὐκ ἐπαύσω ἀεὶ ψάλλειν

'Αλληλούϊα.

Νέαν ἐκ Καισαρείας, κακοήθως ληφθεῖσαν, ὑπὸ δαιμονικῆς συνεργείας, ἰάσω τῆς μάστιγος σεμνή, ἐπικλήσει Βασιλείου τοῦ μάκαρος, καὶ 'Αιαστασίας ἅμα διὸ ἐβόας σοι ἐμφρόνως·

Χαῖρε ἡ ρῶσις τῶν ἀσθενούντων
χαῖρε ἡ ρῦσις τῶν κακοβούλων
χαῖρε ἰαμάτων πηγὴ ἡ καλλίρυτος
χαῖρε δωρημάτων ἐλαία καλλίκαρπος

www.tezaurliturgic.ro



χαῖρε σκήνωμα πολύτιμον ἐνεργείας θεϊκῆς
χαῖρε μάχαιρα ἀμφίστομος συνεργείας μαγικῆς
χαῖρε ὅτι πασχόντων τὰς φωνὰς οὐ παρεῖδες
χαῖρε ὅτι δαιμόνων τὴν μανίαν καθεῖλες
χαῖρε ἐχθρῶν ἀσάρκων ὀλέτειρα
χαῖρε ψυχῶν ἀπόρων ἡ σώτειρα
χαῖρε θερμὴ δεομένων προστάτις
χαῖρε κρηπὶς κλονουμένων καὶ βάσις

Χαίροις Μῆτερ ἰσάγγελε.

Ξένων κατορθωμάτων, καὶ ποικίλων θαυμάτων, ὀφθεῖσα αὐτουργὸς θεοφόρε, ἐξένιζες πᾶσαν ἀκοήν, τὴν τῶν μελλόντων προλέγουσα ἔκβασιν, τὰ πόρρω προγιγνώσκουσα, καὶ πείθουσα πάντας κραυγάζειν·

Ἀλληλούϊα.

Ὅλος ἐπλήσθη θάμβους, ὁ θεόφρων ἀνάσσων, ἡνίκα σε ἀρρήτως κατεῖδε· ξένως γὰρ ἐπιστᾶσα αὐτῷ, τὴν τῶν πρακτέων εἰσηγήσω πλήρωσιν, ὁ δὲ συνεὶς τὸ κέλευσμα, ἐβόα σοι ἔνθους τοιαῦτα·

Χαῖρε ἡ δόξα τῆς Ἐκκλησίας
χαῖρε ὁ πλοῦτος τῆς συμπαθείας
χαῖρε τῆς εἰρήνης τερπνὸν καλλιέρημα
χαῖρε τῶν ἀΰλων σεπτὸν ἀφομοίωμα
χαῖρε ἐμφανὲς προοίμιον τῆς μελλούσης ἀμοιβῆς
χαῖρε τηλαυγὲς διάγραμμα τῆς ἀγγελικῆς ζωῆς
χαῖρε κινδυνευόντων ἀρωγὸς ὀξυτάτη
χαῖρε κακουχουμένων βοηθὸς θερμοτάτη
χαῖρε ἡ λύσασα κρίσιν τὴν ἄδικον
χαῖρε ἡ σώσασα αἷμα τὸν δίκαιον
χαῖρε κατ᾽ ὄναρ ἡμᾶς νουθετοῦσα
χαῖρε καθ᾽ ὕπαρ τὰ κρείττω μυοῦσα

Χαίροις Μῆτερ ἰσάγγελε.

www.tezaurliturgic.ro



Πρὸς οὐράνιον ὕψος, αἰρομένην ὁσίως, αἱ ἄψυχοι κυπάρισσοι γνοῦσαι, ἔκλιναν οἷάπερ λογικαί, τὰς κορυφὰς τῇ ὑψηλῇ σου χάριτι, δι' ἧς πρὸς ὕψος ἔνθεον, μυσταγωγεῖς τὰς ἐκβοώσας·

Ἀλληλούϊα.

Ῥόδον σε παρθενίας, ὁ φωστὴρ τῆς ἁγνείας, εἰδὼς ὡς ἀληθῶς Πανοσία, μῆλά σοι πέμπει ἀειθαλῆ· ὧν τῇ τερπνότητι χαρᾶς πεπλήρωσαι, τοῖς λόγοις σου ὡς ἄνθεσι, εὐφραίνουσα τούς σοὶ βοῶντας·

Χαῖρε λειμὼν χαρίτων ποικίλων
χαῖρε θημὼν προσόντων ἀρίστων
χαῖρε μυροθήκη σεπτοῦ ἁγιάσματος
χαῖρε ἐπιστήμης ἁγίας διάκονος
χαῖρε μῆλον εὐωδέστατον, σωφροσύνης ἡδυσμὸς
χαῖρε ὅρπηξ ἀμαράντινος, παραδείσου κυπρισμὸς
χαῖρε ὅτι ἐδρέψω ἀφθαρσίας τὸν στάχυν
χαῖρε ὅτι ἐδέξω τὴν θεόσδοτον χάριν
χαῖρε λαμπὰς τῆς θείας χρηστότητος
χαῖρε νευρὰ τῆς ἄνω τερπνότητος
χαῖρε πιστῶν ἀκεσώδυνον ἄκος
χαῖρε Θεοῦ τιμαλφέστατον ἄγγος

Χαίροις Μῆτερ ἰσάγγελε.

Σώφρων ὤφθη καὶ ἔμφρων, ὁ ἐχθρῷ εἴξας τέως· Νικόλαος ὁ σὸς ὑπηρέτης· τῇ σῇ γὰρ ἐντεύξει πρὸς Θεόν, ἐκ τῆς δεινῆς ἀπηλλάγη ὀχλήσεως· διὸ τῷ σὲ δοξάσαντι, ἐβόας Μῆτερ ἐν εἰρήνῃ.

Ἀλληλούϊα.

Τῶν Ἀγγέλων τὴν θέαν, μειδιῶσα ἰδοῦσα, προσκαλούντων σε πρὸς δόξαν θείαν, ἤστραψας ὡς ἥλιος λαμπρός, καὶ λαμπροφόρος τῷ

www.tezaurliturgic.ro



Λόγῳ ἀνέδραμες, λαμπρύνουσα τῇ χάριτι, τοὺς λαμπρῶς σοι ἐκβοῶντας Μῆτερ·

Χαῖρε Ὁσία ἡ θεοφόρος
χαῖρε παρθένων λαμπαδηφόρος
χαῖρε τῶν ἀΰλων Ἀγγέλων ἰσότιμε
χαῖρε τῶν Ὁσίων ἁπάντων ὁμόσκηνε
χαῖρε συνδρομὴ πολύφερνος ἀρετῶν ἀσκητικῶν
χαῖρε συστοιχία ἔκπαγλος δωρεῶν πολυειδῶν
χαῖρε ὅτι ἐν ὥρᾳ ἐκδημίας ἐκλάμπεις
χαῖρε ὅτι τὰς φρένας τῶν ἑστώτων αὐγάζεις
χαῖρε φωτὸς ἀδύτου συνόμιλε
χαῖρε τρυφῆς ἀγήρω συνέστιε
χαῖρε τερπνοῦ κληρονόμε νυμφῶνος
χαῖρε ἡμῶν ὁδηγὸς φωτοφόρος

Χαίροις Μῆτερ ἰσάγγελε.

Ὕμνοις ἐπινικίοις, καὶ ἀρώμασι θείοις, συστείλαντες τὸ θεῖόν σου σκῆνος, πᾶσα τῶν Ὀρθοδόξων πληθύς, σὺν Ἀρχιερεῦσιν ἅμα τε καὶ Ἄρχουσιν, ὀσμῆς ζωῆς ἐπλήσθησαν, τῷ σὲ δοξάσαντι βοῶντες·

Ἀλληλούϊα.

Φωτισμῷ τῷ ἀδύτῳ, ἐντρυφῶσα ἀλήκτως, εὐφραίνῃ ἐν τῇ δόξῃ Κυρίου· τάφος δὲ ὁ σὸς οἷα λειμών, ἀρωματίζει πιστῶν τὰ συστήματα, ἀΰλοις διαδόσεσι πρὸς θεραπείαν τῶν βοώντων·

Χαῖρε ὀσμὴ Χριστοῦ εὐωδίας
χαῖρε τροπὴ ἐχθροῦ δυσωδίας
χαῖρε ἀρωμάτων ἀΰλων διάπνευσις
χαῖρε παθημάτων παντοίων κατάλυσις
χαῖρε γαληνὴ ἡδύπνοια οὐρανίων οἰκτιρμῶν
χαῖρε μυστικὴ ἀνάρρυσις ψυχοφθόρων μολυσμῶν
χαῖρε ὅτι μυρίζεις τῶν πιστῶν τὰς καρδίας
χαῖρε ὅτι ἐκπλύνεις τῶν ψυχῶν τὰς κηλῖδας
χαῖρε θερμὸν ἡμῶν καταφύγιον

www.tezaurliturgic.ro



χαῖρε στερρὸν ἐχθρῶν ὀλετήριον
χαῖρε Χριστοῦ εὐκλεὴς παραστάτις
χαῖρε θερμὴ τῶν βοώντων προστάτις

Χαίροις Μῆτερ ἰσάγγελε.

Χάριν τὴν τῆς εἰρήνης ἀναβλύζουσα Μῆτερ, ὡς ὕδωρ ἀληθῶς ζωηφόρον, τὸ τῆς μνησικακίας μύσος, ὡς βορβορώδη κατακλύζεις ρύακα, τῆς τούτου ρυπαρότητος, καθαίρουσα τοὺς ἐκβοῶντας·

Ἀλληλούϊα.

Ψάλλοντές σου τοὺς πόνους εὐφημοῦμέν σε Μῆτερ ὡς νύμφην τοῦ Σωτῆρος Ὁσίαν· σὺ γὰρ διὰ βίου καθαροῦ κατηγγυήθης Χριστῷ ὡς ἀκήρατος· Αὐτῷ οὖν προσοικείωσαι, τοὺς ἐκβοῶντάς σοι ἐκ πόθου·

Χαῖρε Χριστοῦ ἐκλόγιον θεῖον
χαῖρε ἠθῶν θεότιμον μύρον
χαῖρε κοινωνὲ τῆς ἀΰλου λαμπρότητος
χαῖρε θησαυρὲ τῆς ἐνθέου χρηστότητος
χαῖρε στέφανε ἀνθόπλοκε εὐλαβῶν Μοναζουσῶν
χαῖρε καύχημα περίδοξον ἀκραιφνῶν Ἀσκητριῶν
χαῖρε μνησικακίας ἀναιρέτις τελεία
χαῖρε τῆς ὁμονοίας δαψιλὴς χορηγία
χαῖρε δι' ἧς κακίας ρυσθήσομαι
χαῖρε δι' ἧς ἀγάπης πλησθήσομαι
χαῖρε ᾠδῆς ταυτησὶ ἁρμονία
χαῖρε ψυχῆς τῆς ἐμῆς θεραπεία

Χαίροις Μῆτερ ἰσάγγελε.

Ὦ παρθένων ἀκρότης καὶ Ὁσίων φαιδρότης, Εἰρήνη θεράπαινα τοῦ Λόγου, (ἐκ γ΄.) τὰς τῶν λόγων ἡμῶν ἀπαρχάς, ὡς λογικὸν δεξαμένη θυμίαμα, ἐκ τῆς ἀλόγου μήνιδος, ἡμᾶς διάσωζε βοῶντας

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



## Καὶ αὖθις:

Ἄγγελος οὐρανόθεν, καταπτάς σοι Εἰρήνη, μυεῖταί σε ἀδήλων τὴν γνῶσιν, καὶ σὺν τῇ ἐκφάνσει τῶν κρυπτῶν, τὴν κεκρυμμένην ἐμφαίνει σου ἔλλαμψιν, δι' ἧς λαμπρύνεις ἅπαντας, τοὺς ἐκβοῶντάς σοι Ὁσία·

Χαῖρε δι' ἧς ὁ Χριστὸς ὑψώθη
χαῖρε δι' ἧς ὁ ἐχθρὸς ἐτρώθη
χαῖρε τῆς ἁγνείας εἰκὼν ἡ θεόγραφος
χαῖρε τῆς ἀνδρείας ἡ κέδρος ἡ ἄσειστος
χαῖρε ὕψος τὸ περίβλεπτον οὐρανίων ἀρετῶν
χαῖρε βάθος τὸ περίκλυτον ψυχοτρόφων δωρεῶν
χαῖρε ὅτι ἐφάνης τῶν Ὁσίων ἀκρότης
χαῖρε ὅτι τυγχάνεις τῶν παρθένων σεμνότης
χαῖρε ἠθῶν Ὁσίων τὸ ἔλυτρον
χαῖρε παθῶν ἐκλύτων τὸ θέριστρον
χαῖρε δι' ἧς ἡ ἀγάπη ἐκλάμπει
χαῖρε δι' ἧς ἡ ἀπάτη στενάζει

Χαίροις Μῆτερ ἰσάγγελε.

Καὶ τὸ Κοντάκιον.

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς τῶν Ὁσίων καὶ παρθένων ἀκροθίνιον καὶ τῶν θαυμάτων κρήνην ὄντως πολυχεύμονα ἀνυμνοῦμέν σε Εἰρήνη Ὁσία Μῆτερ, ἀλλ' ὡς τρόφιμος εἰρήνης τῆς τοῦ Πνεύματος τῷ συνδέσμῳ τῆς εἰρήνης διατήρησον τοὺς βοῶντάς σοι, χαίροις Μῆτερ ἰσάγγελε.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ

(Ψαλλόμενος μετὰ γενόμενον θαῦμα)

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Χαρίτωσον Κύριε, ταῖς νοηταῖς σου ἐλλάμψεσι, λιταῖς τῆς Ὁσίας σου, τὸν νοῦν μου δέομαι, καὶ πρυτάνευσον, τῷ στόματί μου λόγον, ὡς ἂν μέλψω Δέσποτα, ταύτης τὰ θαύματα.

Ἀχλὺς ἡ καλύψασα, ὀδυνηρῶς τὴν καρδίαν μου, παθῶν ἀμαυρώσεως καὶ συμφορῶν χαλεπῶν, ἀπελήλαται, τῇ σῇ πρεσβείᾳ Μῆτερ· διὸ χαριστήριον ᾄδω σοι αἴνεσιν.

Ρημάτων εἰσήκουσας, τῆς ἀσθενούσης καρδίας μου, καὶ ταύτην ἐπλήρωσας, εἰρήνης καὶ χαρμονῆς· διὰ τοῦτό σε, Εἰρήνη μεγαλύνω, καὶ μέλπω χαρμόσυνα, τῇ ἀντιλήψει σου.

Θεοτοκίον.

Ἰσχύς μου καὶ στήριγμα, καὶ ἀσφαλὲς καταφύγιον, ὑπάρχεις Πανάμωμε, τῷ πεποιθότι στερρῶς, τῇ σῇ χάριτι διὸ ἀπεγνωσμένον, πολλοῖς ἁμαρτήμασι, σῶσόν με Ἄχραντε.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στενώσεως νόσου βαρυτάτης, ρυσθεὶς τῇ θερμῇ σου ἀρωγῇ, ἀνώρθωμαι ὡς πρότερον, Εἰρήνη μεγαλώνυμε· ἐντεῦθεν ὡς προστάτιν μου, χαρμονικῶς μακαρίζω σε.

Τὸ σκεῦος τῶν θείων χαρισμάτων, τὴν νύμφην Χριστοῦ τὴν ἐκλεκτήν, Ὁσίων τὸ ἀγλάϊσμα, καὶ τῶν παρθένων καύχημα, Εἰρήνη μεγαλύνομεν, Χρυσοβαλάντου τὸ στήριγμα.

www.tezaurliturgic.ro



Ἔστραψεν ἡ χάρις σου Ὁσία, καὶ ἔλυσε πάντα τὰ δεινά, εἰρήνην δὲ καὶ λύτρωσιν, καὶ χαρμονὴν καὶ ἴασιν, ἐβράβευσε τῇ Ποίμνῃ σου ὑμνολογούσῃ τὴν δόξαν σου.

Θεοτοκίον.

Ῥάβδῳ κραταιᾶς σου προστασίας, τὰς φάλαγγας Κόρη τῶν ἐχθρῶν, τὰς ἐφορμώσας πάντοτε, κατὰ τῆς κληρουχίας σου, κατάβαλε καὶ σύναψον, ἡμᾶς τῷ θείῳ θελήματι.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἱλασμὸν καὶ σωτηρίαν, καὶ πταισμάτων συγχώρησιν, καὶ δεινῶν τὴν λύσιν, τῇ σῇ μεσιτείᾳ εὑράμενοι, εὐγνωμοσύνης σοι ὕμνον ἀναμέλπομεν, καὶ βοῶμέν σοι· χαῖρε Εἰρήνη θεόληπτε.

Οὐρανόθεν ἀοράτως, ἐπιστᾶσα ἀπήλασας, τῇ χειρί σου Μῆτερ, τὴν τῶν νοσημάτων σκοτόμαιναν, καὶ εὐφροσύνης τὸ φέγγος ἡμῖν ἔλαμψας, θεραπεύσασα, ἡμῶν ψυχῆς τὰ συντρίμματα.

Ὑψηλὴ τῇ διανοίᾳ, ταπεινὴ τῷ φρονήματι, ὤφθης θεοφόρε, τῇ ἀγγελικῇ πολιτείᾳ σου· ὅθεν ἡμᾶς ἐκ κοπρίας παθῶν ὕψωσας, καὶ ἐβράβευσας, ἡμῖν ὑγείαν καὶ ἴασιν.

Συνελθοῦσα ἡ σὴ Ποίμνη, χαριστήριον αἴνεσιν, ἐν ὁμοφροσύνῃ, ᾄδει σοι Εἰρήνη θεόσοφε, ταλαιπωρίας ῥυσθεῖσα τῇ σῇ χάριτι, ἣν ἐπήγαγεν, αὐτῇ ἐχθρὸς ὁ πολέμιος.

Θεοτοκίον.

Ὡς Ἁγνὴ ὡς φωτοφόρος, ὡς ὡραία καὶ πάγκαλος, τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς βροτῶν Ἄχραντε, ἐκυοφόρησας Λόγον ὡραΐζοντα, τῶν ψυχῶν ἡμῶν, τὴν ἀμορφίαν δι' ἔλεος.

www.tezaurliturgic.ro



Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Δεινῶν ἀπολύτρωσις, καὶ νοσημάτων ἴασις, ὤφθης τῇ σῇ Μάνδρᾳ θεοφόρε· ὅθεν εὐνοίας τὰς ἐκδηλώσεις σου, καὶ τὰς πολλαπλᾶς σου δωρεάς, Μῆτερ μεγαλύνουσιν, αἱ Μονάστριαι χαίρουσαι.

Ἀτρύτοις νοσήμασι, περιπεσὼν ὁ δείλαιος, πρὸς τὴν ὀξυτάτην σου πρεσβείαν, ἐν κατανύξει Μῆτερ κατέφυγον, καὶ τῶν λυπηρῶν ἀπαλλαγήν, εὗρον μεγαλύνων σου, τῶν θαυμάτων τὸ μέγεθος.

Σοφίᾳ καὶ χάριτι, καὶ θείαις ἀναβάσεσι, Μῆτερ διαπρέπουσα ὁσίως, Χρυσοβαλάντου Μονῆς ἡγήτειρα, ὤφθης καὶ δαιμόνων ἐλατήρ, καὶ τῶν προσιόντων σοι, ἀσφαλὲς καταφύγιον.

Θεοτοκίον.

Ὁ πλήρης κεκένωται, ἐν τῇ ἀχράντῳ μήτρα σου, καὶ ἐκ τῶν Πατρώων κόλπων Κόρη, ἐν τῷ κενοῦσθαι οὐκ ἀπεφοίτησεν· ὢ τοῦ μυστηρίου τοῦ φρικτοῦ, ὁ γὰρ Ὑπερούσιος, ἐκ σοῦ σάρκα ἀνέλαβε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Σφοδρᾶς ὀδύνης λελύτρωμαι τῇ σῇ ἐπιφοιτήσει θεόνυμφε, καὶ ἀπολέλυμαι, τῆς συνεχούσης με μάστιγος ὅθεν ἀνακηρύττω, τὰ σὰ θαυμάσια.

Ἰδοὺ ἡ Ποίμνη σου ἅπασα, τῇ σκέπῃ σου προστρέχει κραυγάζουσα· Σύ μου προσφύγιον, Μῆτερ Εἰρήνη καὶ στήριγμα, καὶ διὰ σοῦ ρυσθείην, πάσης στενώσεως.

Ἀγγέλων βίον διήνυσας, καὶ δόξης ἰσαγγέλου τετύχηκας, Εἰρήνη ἔνδοξε· ἧς καὶ ἡμᾶς καταξίωσον, τοὺς ἀδιστάκτῳ γνώμῃ σὲ μακαρίζοντας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Δακρύων νάματα δίδου μοι, ὡς ἂν ἐναποπλύνω τὸν βόρβορον, τῆς διανοίας μου, Θεοχαρίτωτε Δέσποινα, καὶ τὸ ἀρχαῖον κάλλος ἐπανακτήσωμαι.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἐπεσκίασεν, Εἰρήνη μεγαλώνυμε, ἡ χάρις ἄνωθεν, τῆς σῆς εὐνοίας ἡμῖν, καὶ πᾶσαν ἐσκέδασεν, ἐχθροῦ ἐνέργειαν· διὰ τοῦτό σε, ἐν εὐχαρίστοις ᾄσμασι, μακαρίζομεν Ὁσία.

Ξένα πέλουσι, τὰ θεῖά σου θαυμάσια, ἃ τελεῖς πάντοτε, τοῖς προσιοῦσι θερμῶς· Εἰρήνη πανεύφημε, τῇ ἀντιλήψει σου· ἀπελαύνεις γὰρ δαιμόνων τὰ φαντάσματα, καὶ παθῶν παντοίων λύμην.

Ἀπαθείας σε λειμῶνα εὐωδέστατον, Χριστὸς ἀνέδειξε, τῇ σῇ λαμπρᾷ βιοτῇ· διὸ τῶν χαρίτων σου, ὀσμὴ ἡ ἄϋλος, τὰ συστήματα Μοναζουσῶν ἑκάστοτε, κατευφραίνει μακαρία.

Θεοτοκίον.

Σωτήριον, τὸ ἔλεός σου Δέσποινα, καὶ ἱλαστήριον, τῇ ἀσθενούσῃ δεινῶς, ψυχῇ μου τοῖς πάθεσι, γενέσθω δέομαι, ὡς ἂν ἄφεσιν, καὶ ἴασιν καὶ λύτρωσιν, καὶ κακῶν τὴν λύσιν εὕρω.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Γένους σου τὴν εὔκλειαν παρεῖδες, καὶ πάσας τὰς ἐν κόσμῳ τιμὰς ἔλιπες καὶ Χριστοῦ ἠγάπησας, Μῆτερ τὴν ταπείνωσιν, πρὸς δόξαν ἀνυψοῦσάν σε τὴν ὑπερκόσμιον, τὸν Κύριον ὑμνεῖτε βοῶσα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ἔργοις τοῦ φωτὸς λελαμπρυσμένη, ἀκοίμητον τὴν λαμπάδα τῆς ἁγνείας σου, Μῆτερ διετήρησας, θείαις ἐγρηγόρσεσι, καὶ πρὸς νυμφῶνα ἔδραμες τὸν ἐπουράνιον, τὸν Κύριον ὑμνεῖτε βοῶσα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥάβδῳ τῆς σοφῆς σου ποιμανσίας, Μονὴν τοῦ Χρυσοβαλάντου πρὶν ἐποίμανας, πρὸς νομὴν σωτήριον, καὶ πόαν οὐράνιον· νῦν δὲ Ὁσία ἴθυνον, ἐπιστασίᾳ σου, πρὸς χλόην τοῦ Χριστοῦ προσταγμάτων, τὴν παροῦσαν Μάνδραν, στερρῶς σοι προσκειμένην.

Θεοτοκίον.

Ἄφθορε ἀκήρατε Παρθένε, φθαρεῖσα τοῖς φθαρτικοῖς ἐπιτηδεύμασι, καὶ λόγοις καὶ πράξεσι, καὶ ἐννοίαις χείροσι, ψυχήν μου τὴν ταλαίπωρον, νῦν ἀνακαίνισον, καὶ κάθαρον τῷ φόβῳ τῷ θείῳ, τὴν ρερυπωμένην καρδίαν μου ἀθλίως.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Σθένος καὶ ἰσχύν, εἰρήνην καὶ ἴασιν ἡμῖν ἐβράβευσας, λύπαις καὶ κακώσεσι, ταπεινωθεῖσι καὶ ἀρρωστήμασιν, Εἰρήνη μεγαλώνυμε· διὸ ὑμνοῦμέν σου, τὴν πλουσίαν, χάριν καὶ χρηστότητα, δι᾽ ὧν πᾶσι παρέχεις τὰ πρόσφορα.

Ἴασαι ἡμῶν, Χριστὲ Παντοδύναμε καὶ Πολυέλεε, τοῦ νοὸς τὸ σύντριμμα, καὶ τῆς καρδίας τὸ ἄλγος Κύριε, καὶ δίδου ἡμῖν ἄφεσιν τῶν παραπτώσεων, μεσιτείαις, τῆς μεγαλυνάσης σε, θεοφόρου Χρυσοβαλάντου Εἰρήνης Φιλάνθρωπε.

Μόνην σε φρουρόν, προστάτιν καὶ ἔφορον μετὰ Θεὸν ἀληθῶς, ἡ τῷ σῷ ὀνόματι, σεμνυνομένη παροῦσα Ποίμνη σου, ἔχουσα Εἰρηνώνυμε, ἐν σοὶ κρατύνεται, καὶ πληροῦται, πάσης παρακλήσεως, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον.

www.tezaurliturgic.ro



Δόξα Πατρί.....

Ὅλῃ τῇ ψυχῇ, Χριστὸν ἀγαπήσασα, τούτῳ νενύμφευσαι, βίου καθαρότητι, καὶ πολιτείας Μῆτερ λαμπρότητι· ὅθεν κἀμὲ καρδίωσον αὐτοῦ τῷ ἔρωτι, καὶ ἐκ πάσης, ῥῦσαί με φαυλότητος, ὡς θαυμάτων τὴν χάριν πλουτήσασα.

Καὶ νῦν, καὶ ἀεί......

Ὕψωσον ἡμῶν, καὶ νοῦν καὶ διάνοιαν ἐκ χθαμαλότητος, πάσης καὶ νοήσεως, περιπεζίου καὶ πολυφρόντιδος, πρὸς ἀρετῶν ἀνάβασιν καὶ νοὸς κάθαρσιν, ὡς ἂν θείας, μέτοχοι ἐλλάμψεως, διὰ σοῦ Θεοτόκε γενώμεθα.

Τέλος